πολὺ μάλιϛ᾽ ἀνὴρ θαυμάζειν ἐϛὶν ἄξιος. Φιλοσοφία μὲν γὰρ πρόθεσις αὐτῷ πάνυ τοι πρὸ τῶν ἄλλων ἁπάντων, μέλει δὲ αὐτῷ καὶ τῆς γλώττης καὶ τῶν ἐντεῦθεν κόσμων τῷ τῆς διανοίας γονίμῳ. Καὶ νοῦς μέν ἐϛιν αὐτῷ διὰ πάντων, ὧν λέγει, φιλοσοφίᾳ προσήκων καὶ γνήσιος, καὶ κατ᾽ αὐτὴν βέλτιϛ᾽ ἐνεργής. Ἐπικαλλύνεται δ᾽ ὅμως καὶ τῇ κατὰ τὴν φωνὴν χάριτι, καὶ πρόεισιν ἀμέλει τοῖς ἔξω καὶ διαδείκνυται περικοσμούμενος εὐαγγέλῳ τῇ χρήσει, καὶ πολὺ τὸ ἀϛεῖον καὶ τερπνὸν ἐντεῦθεν ἔχει εὐκολία κατὰ φύσιν τοῦ ἀνδρός. Πρᾶγμα πάντων ἐργωδέϛατον καὶ σπάνιον συντυχεῖν, καὶ οὐ μὴ πολλὰ μηδ᾽ ἐκ πολλῶν τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀνθρώπων ὑποδείγματα, ὥϛτ᾽ εἰς ἓν ἥκειν δηλαδὴ ταῦτα, νοῦν ἀξιωματικὸν ἐκ φιλοσοφίας, καὶ σεμνὸν καὶ ἀπέριττον, ὡς τὰ πολλὰ κατὰ φύσιν εὐϛομίᾳ προϊόντα, καὶ συνυφαινόμενον. Οὐ γὰρ φιλεῖ νοῦς φιλόσοφος ἐπιϛρέφεσθαι τῆς ἐν τῷ λέγειν ὥρας, οὐδὲ πέφυκεν ὡς ἀληθῶς οὕτως, ἀλλ᾽ ἀποίητός ἐϛι πάσης τῆς κατὰ τὴν γλῶτταν χάριτος, καὶ ἁπλῶς οὑτωσὶ ῥεῖ, καὶ διατίθεται καθάπαξ ἀκαλλώπιϛος ἔξω συντυχεῖν, καὶ οὐ μένει τι φροντίδος ἐνταῦθα, οὐδ᾽ ἴσως ῥᾷϛ᾽ ἔχει χρῆσθαι καὶ κατὰ φύσεως τινὰ ἰδιότητα καὶ σύμφυτον ἀπλασίαν κάλλους. Καὶ ὁρῶμέν γε πλὴν ὀλίγων τοὺς ἐξ ἀρχῆς ἐν φιλοσοφίᾳ πάντας πρωτεύσαντας οὕτω χρησαμένους τῷ λέγειν, καὶ κατὰ τὴν φωνὴν ἀνεπιτήδευτ᾽ αὐτοῖς καὶ ἀνάσκητα, καὶ μὴν ἔτ᾽ αὖθις ἰδίᾳ τοὺς περὶ τὸ λέγειν ἐπιμελεῖς τοῦτ᾽ αὐτὸ δὴ καὶ μόνον ἔξω τῶν τῆς φιλοσοφίας ὀργίων ἐπειγομένους καὶ τεχνιτεύοντας. Συνεσίῳ δὲ κομιδῇ σὺν ὀλίγοις, καὶ οὐκ οἶδ᾽ ὅσοις ἄρα δή τισιν, ἥ τε πρόθεσις, ἥπερ εἴρηται, παντὶ λόγῳ, καὶ ᾧ κατεπείγεσθαι δοκεῖ, καὶ σφόδρα προσέχειν τὸν νοῦν ἀξιοῖ, καὶ ᾧ μὴ καὶ ῥᾳϛωνεύεσθαι δόξαι τις ἂν ἴσως αὐτὸν τηνικαῦτα καὶ προσπαίζειν φιλοσόφου σπουδῆς ἐϛὶν εὖ μάλα. Καὶ ἡ τοῦ νοῦ καὶ τῶν λεγομένων ἑρμηνεία καλλύνεται, πῶς ἂν

ἐκπίπτων διὰ τὸ περὶ ταύτην ἄκρον τὴν τέχνην. Ἐπεὶ μηδὲ συγγνωστὸν πάντως τὸ ξενίζον ἐνταῦθα, καὶ ἀηθες, ἣν μὴ μετ' ἀσφαλείας καὶ τῶν τῆς τέχνης νομίμων ὁρῷτο, ἣν δ' ἄρ' οὕτως εὐθαρσής τις εἴη καὶ χρώμενος ἔξω τῆς τῶν πολλῶν ἀγωγῆς ἀκλόνητος, ἴσως καὶ θαυμάζειν μᾶλλόν ἐστιν ἄξιος, ὡς ἄρα καὶ Συνέσιος ὄντως αὐτὸς, ἤν τις ἐπαΐειν οἷός τ' εἴη. Καὶ τὰ μὲν κατὰ τὴν γλῶτταν οὕτως ἄρ', εἰ καὶ μὴ καθάπαξ ἄκρως, βέλτιστα δ' ὅμως ἔχει τἀνδρί· φιλοσοφίαν δ', ὡς εἴρηται, προτίθεται τοῦ βίου παντὸς, καὶ διῃρημένης εἰς πλεῖστα, πάντων εὖ ἔχει, καὶ οὐ τῶν μὲν αὐτῷ μέτεστι, τῶν δ' οὐ καθάπαξ, ἢ καὶ ἧττον μέτεστιν ἢ κατὰ τἄλλα· οὐδ' ἔχει τις ἐρεῖν περὶ αὐτοῦ, πῶς ἂν εἴποι τις, ἀπολαβόμενος καὶ ὁρίσας, ὡς ἄρα τοῦδέ τινος ὁ ἀνὴρ σπουδαστής ἐστιν, ἢ τοῦδέ τινος αἱρεσιώτης ἐστὶ τοῦ συντάγματος, εἰς ἃ δὴ πλεῖστα κατατέτμηται τὰ φιλοσόφων πράγματα, ἀλλὰ πάντων ἐστὶν, ὡς εἰπεῖν, κοινὸς θιασώτης καὶ συντελὴς, καὶ μάλιστά γε δὴ τῶν βελτίστων τῶν ἀπ' Ἀριστοτέλους καὶ Πλάτωνος*), καὶ σύνδεσμός τις ἀμφοῖν κοινωνίας, καὶ διαλλακτὴς εἰς τὰ νομιζόμενα καὶ δοκοῦντα φιλονείκως ἀντίθετα, καὶ ἀπ' ἀμφοτέρων τὰ βελτίω πορίζεται, καὶ οὐ νέμει πλεῖν ἢ λυσιτελεῖ θατέρῳ τούτων ἑαυτόν. Καὶ τοῦτο καὶ αὐτός φησι περὶ ἑαυτοῦ, καὶ οἷς φρονεῖ, καὶ οἷς λέγει, πιστοῦται μάλιστα. Καὶ τοίνυν τῆς φυσικῆς τε θεωρίας τὸ μέρος τῇ φιλοσοφίᾳ κάλλιστ' ἐν μετουσίᾳ δείκνυται, καὶ οἷός τέ ἐστιν ἐνταῦθα τρίβειν οὐκ ἔξω καιροῦ, τῆς τε τῶν προτέρων μάλιστ' ἀπολαύσας παρασκευῆς, καὶ γόνιμος περὶ ταῦτ' οἴκοθεν οὐ πολλῶν δεύτερος καὶ ἠθικός ἐστι, καὶ δογματικὸς, εἰ δή τις καὶ ἄλλος τῶν ἀπὸ Πλάτωνος, καὶ νομίζει μὲν ἐνταῦθ' ὡς ἄριστά τε καὶ κριτικώτατα. Βακχεύει δ' ἐν τούτοις ταῖς τῶν κρειττόνων καὶ ὑπὲρ τὴν φύσιν ἐποπτείαις καὶ τελεταῖς, καὶ συνοργιάζει τῇ περὶ τῶν ὄντων

*) Vid. de Regn. p. 8. A.

ἁπλότητι καὶ τῇ δεσποτείᾳ, καὶ τοῖς ἡγεμονικοῖς τοῦ νοῦ μυςηρίοις. Ἀλλὰ μὴν ἔτι καὶ μαθηματικῶν εὑρέσεων ἐπιςημονικῶς εὖ μάλα ἔχει, καὶ πάντ' ἔςι ταῦτα, ἐξ ὧν καταλέλοιπε βιβλίων, ἀσφαλῶς συλλογίζεσθαι. Καὶ πολυειδὴς ὢν οὕτω τὴν σοφίαν πᾶσιν ἀρκεῖ τῇ τῆς φύσεως εὐγενείᾳ μάλιςα καὶ τῷ κράτει, ἢ τῷ συνεχεῖ τῆς μελέτης, καὶ μονίμῳ τε καὶ φιλοπόνῳ τῆς ἀσκήσεως· Καὶ γάρ μοι καὶ ξυλλογιζομένῳ περὶ αὐτοῦ καὶ σφόδρ' ἐπισκοπουμένῳ τὰ κατ' αὐτὸν πράγματα δοκεῖ, καὶ ἴσως μὲν ξὺν λόγῳ, καὶ ἴσως δὲ μή, δοκεῖ δ' ὅμως ἀνὴρ μὴ πολυμαθὴς εἶναί τις τὰ τῶν πρὸ αὐτοῦ, μηδ' ἐνσχολάσαι πάνυ τοι τοῖς ἐκείνων, ὥςπερ καὶ ἄλλοι τινές, οἶμαι, τῶν εὐδοκιμούντων τῇ παιδείᾳ καὶ σπουδαίων ἀνδρῶν. Καίτοι σχολῆς ἀπολαύσας ἐν βίῳ μάλιςα, εἰ δή τις καὶ ἄλλος, καὶ πραγμάτων ἔξω ζωὴν ἀνύσας φιλοσόφῳ πρέπουσαν*), ἀλλὰ ταχύς ἐςιν, ἀλλ' ἀγχίνους, ἀλλὰ εὐφυὴς ἅπαντα τῆς σοφίας κάλλιςα καὶ παντοῖ' εἴδη, ἀλλ' ἀπ' ὀλίγης κτήσεως καὶ πόνων καὶ ἀσκήσεως κατὰ φύσιν ἀνυσιμώτατος.

Eiusdem ibid. *Κεφ. ιθ'*. p. 141. seqq.

Περὶ Δίωνος, ᾧ Προῦσα πατρίς, πλεῖς' εἴρηται Συνεσίῳ, καὶ ἴσασιν, ὅσοις τὰ ἐκείνου πάντως σπούδαζεται, τῆς τε σοφίας αὐτοῦ πέρι καὶ τῆς τοῦ βίου αἱρέσεως πρώτης τε καὶ δευτέρας, καὶ ὅτι δήποτε τῆς τοῦ βίου μεταθέσεως αἴτιον τῷ ἀνδρί, μᾶλλον δὲ μετ' ἀληθείας ἐρεῖν ἴσασι περὶ τούτων, ὅσοις τὰ Δίωνος ἐπιμελές ἐςιν εἰδέναι βιβλία, πλεῖςά τε καὶ διαφόρου κατὰ τὴν ἑρμηνείαν ἕξεως, ἐξ ὧν τήν τε κατὰ τὸν βίον τοῦ ἀνδρὸς ἱςορίαν ἔχομεν συλλογίζεσθαι, καὶ ἅμα τὴν διάθεσιν τῆς σοφίας αὐτοῦ, νῦν μὲν ῥητορικῶς ἐπιχειροῦσαν, νῦν δὲ φιλοσόφῳ πρέπουσαν, ἅμα δὲ καὶ

---

*) Vid. *Synes.* Ep. 11. p. 171. AB. Ep. 57. p. 193. D. 194. A. Ep. 91. p. 231. B. Ep. 105. p. 247. CD.

τὴν ἐργασίαν τῆς γλώττης κατ' ἀμφότερα προσήκουσαν μηδὲν ἧττον ἐπαινεῖσθαι κατ' ἀμφότερα δικαίαν, ὡς κατ' ἄμφω καιροῦ τυγχάνουσαν, καὶ μὴν ἔτι, κἂν εἰ μετ' ἐνστάσεων καὶ σκοπῶν οὐχ ὁμοίων, ἀλλ' ἀκολούθων πρὸς τοῦ βίου τὴν ἐφ' ἑκάτερα πρόθεσιν, ἀλλὰ καὶ ὅμως αὖθις ἐμφερὲς ἔχουσαν τὸ χρῶμα, καὶ τοὺς ἐπιφαινομένους τοῦ λέγειν τύπους, καὶ τὴν ἐν τῇ φωνῇ διοίκησιν. Ἀλλ' ἔμοιγε τοῦτο νῦν ἔπεισι σημειοῦσθαι· καὶ πολλάκις γὰρ ἐπεσκεψάμην, καὶ τὸν βουλόμενον προσέχειν ἀξιῶ τὸν νοῦν καὶ συλλογίζεσθαι, ὅτι δὴ τὼ ἄνδρε τώδε, Δίων τε καὶ Συνέσιος, περὶ τὴν φωνὴν κατ' οὐδὲν, ὡς εἰπεῖν, ἐοικότε, πλεῖσθ' ὅμως ἔχετον κοινά. Καὶ χαίρει μᾶλλον Συνέσιος Δίωνι δεύτερος ἐπιὼν αὐτὸς, καὶ οἷς Δίων λέγει, καὶ δῆλός ἐστιν ἐν οἷς περὶ αὐτοῦ Δίωνος μέμνηται, καὶ μέμνηταί γε οὐχ ἅπαξ, οὐδ' ἐν παρόδῳ λόγων, οὐδ' ὅπως ἔτυχεν ἐπελθὸν, ἀλλ' ὅγε δὴ μάλιστα τέρπεται μεμνημένος. Καὶ τῆς τοῦ ἀνδρὸς γλώττης δῆλός ἐστιν εὖ μάλ' ἀλώσιμος ὢν, καίτοιγε χρώμενος αὐτὸς ἄλλως, ἢ κατ' ἐκεῖνον, καὶ μήθ' ὅλως ῥητορικῶς σπουδάζων καὶ τεχνιτεύων ὁτιποτοῦν ἐπὶ τοὺς ἀκούοντας, ὡς ἄρα Δίων αὐτὸς μάλιστα τῇ τέχνῃ σπουδάζει. Καὶ σφόδρα ἐστὶ τὸ δραστήριον αὐτῷ κατὰ ῥήτορας ἐν τοῖς πρώτοις τῶν αὐτοῦ συνταγμάτων μήπω δὴ τότε τῇ φιλοσοφίᾳ προσνεύσαντι καὶ προσθεμένῳ, μήτε μὴν ὅλως κατὰ τὸ λογοειδὲς, ᾧ καθάπαξ χρῆται, καὶ καταγγέλλει τὰ βέλτιστα τοῦ νοῦ, καὶ ὅσα κατὰ φιλοσοφίαν ἐστὶ γόνιμος, ὑποχαλῶν ὅλως εἰς τὸ ὕπτιον καὶ λιτότητι, ταῖς τῶν πολλῶν ἀκοαῖς οἰκειούμενον. Ὥσπερ ἄρα καὶ τοῦθ' οὑτωσὶ Δίων καὶ φεύγει τὸ διῃρημένον, καὶ μεσὸν ἐπίτηδες καὶ κατὰ φύσιν, καὶ μάλισ' ἐν οἷς κατ' αὐτὸν ἀμέλει Συνέσιον μετὰ φιλοσόφου προθέσεως φθέγγεται ἐν τοῖς δευτέροις δηλονότι τοῦ βίου. Συνεσίῳ γὰρ τοὐναντίον ἡ φωνὴ καθάπαξ τετόνωται, καὶ φεύγει μᾶλλον ἁπάσῃ σπουδῇ καὶ πᾶσι τρόποις τὸ ἔθιμον,

κἂν ταῖς εὐτελεςάταις ἐςιν ὅτε συμβαῖνον, ἐννοίαις ὀγκοῦσθαι χαίρει, καὶ διαίρειν ἑαυτὸν ἀμηγέπη πειρᾶται μὴ πράττειν ταπεινὰ παντάπασι, μηδ' εὐπεριφρόνητα τῇ διαθέσει τῆς ἑρμηνείας σπουδάζων. Καὶ τοίνυν οὐδ' ὁπωςοῦν ἀφελείας αὐτῷ μέτεςιν, ὅτι μὴ ταῖς ὑποθέσεσι μόνον ἔςιν, οὗ διατίθησιν ἡδέως καὶ διὰ γλυκύτητος εἰς τὴν ἀφέλειαν γενικῶς ἂν φέρειν, ὁπηοῦν δόξαι, καὶ τοῖς ῥήμασιν ἴσως ἄρα βραχὺ καὶ σπανίως, συνθήκῃ δὲ καθ' ὁτιοῦν οὔ. Καὶ οὐκ οἶδ' εἴ τις ἂν καὶ ἄλλος κατὰ Συνέσιον καὶ τὰ χαμερπῆ καὶ γλυκάζοντα συνέχειν τε καὶ σεμνύνειν ἀναφέρων τῷ δρόμῳ τε καὶ τῇ συνθήκῃ, αἱροῖτό τε καὶ δύναιτο· Δίων δὲ πᾶν τοὐναντίον ὁρᾶται, ὅςγε καὶ τὰς ἀξιωματικὰς αὐτὰς ὑποθέσεις ἀκόμψως καὶ ἀφελῶς προφέρειν εἴωθεν. Ἀλλὰ καὶ ὅμως ὑπεναντίως οὕτως ὅσον γ' εἰς τὸ φαινόμενον τῆς ἀγγελίας τῷ λέγειν χρώμενοι οὐκ ὀλίγα τοῖς καλῶς ξυνορῶσιν ἔχουσι κοινὰ, καὶ, καθὼς ἔφην, ὁ δεύτερος ἥκων Συνέσιος αὐτὸς ἐπιεικῶς χαίρει τῷ Δίωνι. Καὶ οὐ λέγω νῦν κατὰ τὴν φιλόσοφον ἀμέλει πρόθεσιν, καὶ τοῦτο μὲν γὰρ ἄλλο τι καὶ τὸ γόνιμον ἄρ' ἑκάτερος ταῖς αὐτὸς αὑτοῦ ὑποθέσεσιν ἐμφερὲς ἔχουσι, καὶ ταῖς ἐπιβολαῖς τῆς γνώμης εἰς τὰ παραπλήσια φέρονται, καὶ μάλιςά γε τῷ κατὰ τὴν ἑρμηνείαν ἤθει κομιδῇ ξυγγενεῖ τοὺς λόγους αὐτῶν παθητικοὺς ποιοῦσι, καὶ γοητεύειν εὖ μαλ' ὡς ἀληθῶς τὸ ἀκροώμενον οἵω τ' ἐςὶν ἄμφω. Τόγε δὴ καὶ ἴσμεν ἅπαντες, ὅσοι τῶν λόγων αὐτῶν πεπειράμεθα, καὶ, εἰ μὴ νεμεσῆσαι τι ἴσως, ὡς ἐρῶ, πολλάκις δὴ καὶ τοῖς αὐτοῖς ὁ δεύτερος, οἷς φθάσας ὁ Δίων ὁρᾶται χρώμενος, καὶ οὐ φείδεται, οὐδ' αἰδεῖται τοὺς ἐποπτεύοντας. Καὶ μὴν οὐ κατ' ἦθος ἄρα μόνον οὕτως ὁρᾶται χρώμενος, ὃ νῦν ὁ λόγος ἠβούλετο, ἀλλ' ἔτι πω καὶ θαυμάζω μάλις' ἔγωγε ξυνορῶν, ὅτι καὶ νοήμαθ' ὅλα τῶν Δίωνος ἀφαιρεῖται Συνέσιος εἰς κατασκευὴν, ὧν ἑκάςοθ' αἱρεῖται, καὶ σπουδάζει· μάλιςα δὴ καὶ περὶ τῶν αὐτῶν σπουδάζων καὶ τὴν ἔνςα-

σιν ἔχων, ὧν καὶ Δίων αὐτὸς, καὶ κρατύνει τὸ προκείμενον ταὐτό γε ὄν, ὃ καὶ Δίωνι, διὰ τῶν αὐτῶν ἐννοημάτων καὶ ἐπιχειρήσεων, ὧν φθάσας ἐκεῖνος ἀνύτει προενεγκὼν ὡς ἀληθῶς βέλτιςα πρὸς τὴν χρείαν, καὶ οὐ ποιεῖται μόνον τὸν νοῦν ἑαυτοῦ καὶ κοινὸν, ἀλλ' ἐνίοτε καὶ τὰ ῥήματα αὐτὰ καὶ τὴν σύνθεσιν, ἔπειτ' αὐτὴν τοῦ λόγου μὴ συγκαλύπτων ὁπηοῦν, ὡς ἄρα ἀλλοτρίοις χρώμενος, καὶ ὁρᾷν ἔςιν οὑτωσὶ πλεῖςα μάλιςα καὶ κατ' ἄλλα τῶν βιβλίων ἀμφοῖν. Ὁ δ' οὖν βασιλικὸς Συνεσίου, οἶμαι· καὶ ῥᾷς' ἔξεςιν ὁρᾷν· οὐκ ὀλίγα τῶν Δίωνος βασιλικῶν ἀποφέρεται κατασκευάζων τὴν πρόθεσιν αὐτοῖς ῥήμασι, καὶ τίθησιν ὡς οἰκεῖ' αὐτοῦ Συνεσίου, ἀλλ' οὐ μὴν ὡς ἄλλου κατὰ χρείαν δή τινα πρὸς πίςωσιν τῶν σπουδαζομένων, ὡς καὶ τοῦτ' εἰώθασιν ἔνιοθ' οἱ λέγοντες. Ἀλλ' ὅγε δὴ Συνέσιος, ἧπερ εἴρηται, μηδὲν εὐλαβούμενος, εἴ τις ἂν ξυνορῴη, συνυφαίνων τὸν λόγον ὡς οἴκοθεν τρέχων ἅμα πρόσω, φασὶ, καὶ ὀπίσω, καὶ συνεχῆ μετὰ τῶν αὐτὸς αὑτοῦ καὶ γνησίων τῆς φορᾶς ποιούμενος· καὶ τοῦτο μὲν οὕτω. Καὶ κοινά γε ἀμφοῖν τῆς φωνῆς οὐκ ὀλίγα. Τὸ δέ γε πλεῖςον μάλιςα καὶ τοῖς πλείςοις δῆλον ἀπὸ τῶν ἐναντίων ἰδεῶν καὶ διαθέσεων τοὺς λόγους αὐτῶν χρωματίζουσι. Καὶ Συνεσίου μὲν εἴρηται πέρι, μέτρια μὲν, ἀλλ' ἴσως γε τὴν εὐτονίαν ἀποχρώντως παριςῶντα τῆς ἑρμηνείας τῶν λόγων, καὶ ὅτι, εἰ δή τις καὶ ἄλλος, φεύγει τὸ ἀφελὲς, εἰ καὶ μὴ δεινός ἐςι μήτε κατὰ φύσιν, μήτε κατ' ἐπιτήδευσιν. Φεύγει δ' οὖν, ὡς ἔφην, παντὶ τρόπῳ τὸ ἀφελὲς, καὶ δύναται καὶ αἱρεῖται καθ' ἔθος ἐπίτηδες καὶ τὰ καθάπαξ εὐτελέςερα τῶν πραγμάτων τε καὶ ἐννοημάτων ἐπιμελείᾳ τινὶ τῆς γλώττης ἐξαίρειν ὁπηοῦν καὶ λογοειδῶς ἀπαγγέλλειν. Δίωνι δὲ πλείςη πάνυ τοι τῆς ἀφελείας ἐπιμέλεια τῷ λέγειν, καὶ κατὰ φύσιν μὲν οὕτω ταῖς ἀληθείαις χαίρει, ἀλλὰ καὶ πολὺ τοῦτ' ἔργον αὐτῷ καὶ σπουδῆς πάσης, ὡς εἰπεῖν, ἀξιούμενον ἐπίτηδες πλάττεσθαι τὸ ἀφελές τε καὶ ὕπτιον

καὶ ἀποίητον· καὶ ὥςπερ δέ τι ἄλλο ἄλλῳ τῳ, καὶ αὐτῷ πρόθεσίς ἐςι τὸ ἄκομψον, καὶ τὸ θαυμάσιον δεινότης ἐςὶν αὐτῷ κατὰ μέθοδον ἡ ἀφέλεια, καὶ κατὰ φύσιν δοκοῦσα, πολὺ μᾶλλόν ἐςιν ὑποκρίσεως ἔργον, καὶ τὸ πειςικὸν αὐτὸ μᾶλλον πράττει τῇ δοκούσῃ γε ἁπλασίᾳ, καὶ τῷ φαινομένῳ, ῥᾳδίῳ τε καὶ ἀτημελήτῳ, καὶ τὰς ἐννοήσεις ἁπλᾶς, ὡς εἰπεῖν, προφέρων, καὶ ἀκόμψως χρώμενος ὡς ἄρα μηδὲν ἐν φροντίδι τινὶ μεθόδου τινὸς καὶ διοικήσεως, εὖ μάλ' ἐπηλυγάζεται καὶ λανθάνειν πειρᾶται συνέλκων ἀςείως τε καὶ ἀνυπόπτως τὸν ἀκροατὴν, ἃ βούλεται, μὴ προςποιούμενος ἀγωνίζεσθαι. Καὶ δῆλός ἐςι μὲν οὕτως ἄρ' ἔχων, εἴ τις οὐχ ἁπλοϊκῶς ἐμπίπτων εὖ μάλ' ἀξιοῖ, προςέχει τὸν νοῦν οἷς λέγει· δῆλος δὲ καὶ, ὅτι δεῆσαν αὐτῷ πρὸς ἄσκησιν τοῦ λέγειν ἐκκαλέσασθαί τινα τῶν ἐπιτηδείων, καὶ παραδοῦναι τοὺς ἐκ τῶν πάλαι πρότερον δοκίμων, καὶ τῶν ἔγγις' αὐτῷ, καὶ οὐ πόῤῥω τῶν χρόνων λυσιτελήσοντας εἰς ὃ προτρέπεται τὴν εὐφωνίαν αὐτὴν δηλαδὴ, καὶ τὴν τοῦ λέγειν ὡς βέλτιςα μελέτην. Παρατίθεται μὲν αὐτῷ φίλους ἄνδρας, οἷς δέοι ἂν ἐν τοῖς βιβλίοις συγγίνεσθαι, καὶ γυμνάζειν τὴν φωνὴν κατ' ἐκείνους τυπούμενον, μάλιςα δ' ἐπαινεῖ καὶ συνίςησιν εἰς τοὖργον καὶ τὴν ἐπιμέλειαν ταύτην Ξενοφῶντα τὸν Γρύλλου, τὸν Ἀττικὸν μὲν, εἰ δή τις καὶ ἄλλος, καὶ γένος καὶ γλῶτταν, τῇ δὲ τῆς φωνῆς ἰδέᾳ χρησάμενον μετὰ τῆς κατὰ φύσιν καὶ ἐν σκηνῇ καὶ δράματι ταύτης ἀφελείας πάντων μάλιςα τῶν ἄλλων Ἑλλήνων παλαιῶν τε καὶ νέων, καὶ ὅσοι κατ' αὐτὸν Σωκρατικοὶ καὶ μετὰ φιλοσόφου προθέσεως ἐβίωσαν, καὶ ὅσοι κατ' αὐτὸν πάλιν ῥητορικῶς. Οὕτω δὴ κἀντεῦθεν προδείκνυσι καὶ πιςοῦται τὰ περὶ αὐτοῦ νῦν ἡμῖν λεγόμενα. Οἷς γὰρ χαίρει, καὶ οἷς ἥδεται ξυνὼν, καὶ φίλους ἄνδρας, καὶ οἷς τὰ βέλτιςα βούλεται, προτρέπεταί γε τοῖς αὐτῶν χρῆσθαι. Τοιοῦτος αὐτός ἐςι πάντως ταῦτ' ἐπαινῶν, οἷς χρῆται, καὶ χρώ-

μενος αὐτὸς τίως, οἷς καὶ τοὺς ἐπιτηδείους προσέχειν βούλεται. Οὐ γὰρ ἄλλοις βελτίοσιν, ᾗ καὶ αὐτὸς ἐχρήσατο, προσέχειν ἠξίωσεν ἄν, οὐδὲ φίλους ἔκρινεν ἄν, ὥστε καὶ τῶν καλλίστων δι' ἑαυτοῦ τυχεῖν πλεῖν ἢ ἑαυτόν, οὐδὲ μὴν αὖθις, ὧν ἑαυτῷ βελτίστων ᾠήθη, τἀναντία παρετίθετο φίλοις, καὶ μάλιστ' ἀδικεῖν ἄνδρας ἐπιτηδείους ἐπειρᾶτο σφόδρα τιμῶντας αὐτὸν καὶ πειθομένους ἀνυπόπτως, ὁ μηδ' ἐχθροὺς ἀδικεῖν τῷ βίῳ προθέμενος, καὶ πάντας εἰς τὴν αὐτὴν αἵρεσιν φίλους τε καὶ μὴ συμπείθων.

Eiusdem idid. Κεφ. ρια΄. p. 743.

— — πολλοὶ τῶν σοφῶν τὸ πολύπραγμον κατὰ φύσιν ἀρχὴν ποιοῦνται φιλοσοφίας· καὶ ὁ πολὺς Συνέσιος τὴν ἐν παισὶ φιλόμυθον φύσιν ὑπόσχεσιν φιλοσόφου τέλους ἀποφαίνεται.*)

Nicephori Callist. Hist. eccl. XIV. 55.

Ἐπὶ τούτοις δὲ καὶ Συνέσιος, οὗ κλέος ἅπασαν τὴν ὑφήλιον διατρέχει, συνήκμαζεν· ὃς ἦν, εἴπερ τις τῶν κατ' ἐκεῖνο καιροῦ, λόγιος· οὕτω δὲ τῇ Πλατωνικῇ προσεχώρησε φιλοσοφίᾳ καὶ εἰς τὸν ἀκρότατον ὅρον ἥκεν αὐτῆς, ὡς μὴ μόνον παρ' Ἕλλησι θαυμασθῆναι, ἀλλὰ δὴ καὶ παρὰ Χριστιανοῖς, ὅσοις μὴ προσπαθείᾳ κρίνειν συμβαίνει τὰ πράγματα. Τοιοῦτον δὲ ὄντα καὶ ἄλλως ἥμερον τὸν τρόπον καὶ μέτριον, πείθει τοῦτον Θεόφιλος ὁ τῆς Ἀλεξάνδρου καὶ τῆς σωτηριώδους παλιγγενεσίας ἀξιωθῆναι· ὡς δὲ τοῦτ' ἔδρασεν, ἔπειτα ἐπειρᾶτο καὶ τὸ τῆς ἱερωσύνης ἐκεῖνον δέξασθαι χρῖσμα· ὁ δ' ἐν τοῖς ἄλλοις, ἃ δοξάζειν θέμις Χριστιανοὺς, πρόχειρος ἦν. Ἔκ γε μὴν τῶν Πλατωνικῶν δογμάτων παρατρεπόμενος, ἥκιστα τὸν τῆς ἀναστάσεως λόγον προσίετο, ἀπόρρητον τὸ τοιοῦτον δόγμα καὶ ἀποτρόπαιον μάλα ἡγούμενος. Ἡ δ' ἐκκλησία καὶ οὕτω γνώμης

*) Vid. Dion. p. 42. BC. coll. Aegypt. p. 97. A.

ἔχοντα ξυνεχώρει τὸ ἱερᾶσθαι, εὐθυβόλως ςοχασαμένη, ὡς ταῖς λοιπαῖς τἀνδρὸς ἀρεταῖς, μόλις καὶ πρὸς τοῦτο δὴ μαλαχθεὶς κατανεύσει· μηδὲ γὰρ ἂν τὴν θείαν χάριν οὕτως ἐλλιπῆ γε εἶναι ἀνέξεσθαι πολλοῖς καὶ μεγάλοις κομῶντα τοῖς προτερήμασι, καὶ τῆς ἐλπίδος οὐ μὲν οὖν οὐκ ἠςόχησαν· μικρῷ γὰρ ὕςερον καὶ ἔςερξε καὶ ἀνωμολόγησε βεβαίαν εἶναι μάλα καὶ προσήκουσαν τὴν δόξαν ταύτην τῇ ἐκκλησίᾳ· ὅσος γὰρ καὶ ὁποῖος γέγονε, τεκμηριοῦσιν αἱ μετὰ τὴν ἱερωσύνην κομψῶς γεγενημέναι τούτῳ ἐπιςολαὶ καὶ τἄλλα τῶν συγγραμμάτων, τῷ ἀπαραμίλλῳ τῆς συνθήκης καὶ ἁρμονίας καὶ φράσεως, καὶ τῇ τῶν νοημάτων πυκνότητι ἐν δευτέρῳ πάντα τιθεῖσαι. Ἃ δ' οὖν καταλέλοιπε, ταῦτά εἰσιν· ἐπιςολῶν βιβλίον, αἵπερ εἰσὶ πρὸς τοῖς ἑκατὸν καὶ ἑξήκοντα· ὁ περὶ βασιλείας πρὸς Θεοδόσιον ἐκπεφωνημένος τὸν νέον, ἄντικρυς διδασκαλία καὶ τύπος βασιλικῆς ὢν καταςάσεως· ὁ περὶ ἐνυπνίων ἔχων ἐπιγραφήν· ὁ πρὸς Παιόνιον περὶ τοῦ δώρου· οἱ δύο περὶ προνοίας, οὓς Αἰγυπτίους καλεῖ· καὶ ὃν ἐπιγράφει φαλάκρας ἐγκώμιον· καί τινες πρὸς θεὸν ὕμνοι εὐτόνως τούτῳ πεποιημένοι. Ἐγὼ δὲ τἀληθὲς ἀεὶ πρυτανεύων, καὶ αὐτὴν ἐκείνην αὐτοῦ τὴν ἐπιςολὴν παραθήσομαι, ἣν πρὸς Εὐόπτιον γράφει τὸν ἀδελφόν, τίνα ζητῶν ἐξεχωρήθη κατ' οἰκονομίαν τὴν ἱερωσύνην λαβεῖν. (Sequitur deinceps Synesii epistola 105.) Ὁ μὲν οὖν τοιαῦτα λέγων καὶ ἐμφανῶς παραιτούμενος οὐδ' οὕτω διέδρα τὸ ἱερᾶσθαι. Ταῦτα δ' ἐγὼ παρεθέμην, ἵν' εἰδέναι ἔχοιμεν ὅσα λόγοις οἰκονομίας διαφόρως ἡ ἐκκλησία ἐτέλεσιν, οὐ νόμοις ταῦτα τιθεῖσα, ἀλλὰ τοῖς καιροῖς τὰ προσήκοντα πράττουσα. Τοιαῦτα καὶ τὰ κατὰ τὸν πολὺν ἐν φιλοσοφίᾳ Συνέσιον.

ΣΥΝΕΣΙΟΥ

ΚΥΡΗΝΑΙΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ.

Tom. I.

I.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΑΡΚΑΔΙΟΝ[1])

Η[2])

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.[3])

1.

Ἆρα, εἰ μή τις ἐκ πόλεως ἥκοι μεγάλης τε καὶ πλουτούσης, καὶ κομίζοι λόγους γαύρους τε καὶ χλιδῶντας, οἵους ῥητορικὴ καὶ ποιητικὴ τίκτουσι[4]), πάνδημοι τι- Petav. 1633. p. 1. A

1. Pro *ΕΙΣ* legitur *πρὸς* in Cod. Mon. A et in marg. Matritensis LXIX. (apud Iriart. Reg. Bibliothec. Matrit. Codd. Graecc. Vol. I. p. 248.). *Ἀρκάδιον* om. tres Laurentt., teste *Bandinio* (Catalog. Codd. MSS. Graecc. Biblioth. Medic. Laurent. T. II. p. 244 et 269. et T. III. p. 208.), Paris B. Matrit. in m. et Mon. D. Abfuisse hoc nomen item a Codd., quibus usi sunt *Evagrius* Scholasticus (Hist. Eccl. I. 15.) et *Nicephorus Callist.* (Hist. Eccl. XIV. 55.) ex eo patet, quod hallucinatur ille orationem hanc ad Theodosium Magnum; hic, ad Theodosium Iunior. esse habitam. Addunt tamen Mon. AF. Laurent. VI. Plut. 60. (ap. Bandin. T. II. p. 592.), Matrit., in quo ab antiq. m. margini adiectum est, Rehd. c. Edd., item Par. C, in quo est *Συνεσίου περὶ βασιλείας εἰς Ἀρκάδιον*, et Barocc., qui hanc orationem ita inscribit: *Εἰς βασιλέα Ἀρκάδιον λόγος πρῶτος.* Legitur etiam in *Eudoc.* Violar. ap. Villoison. Anecdott. Gr. T. 1. p. 388. sq: *Συνέσιος — — ἔγραψε — — — καὶ λόγους βασιλικοὺς πρὸς Ἀρκάδιον τὸν βασιλέα.*

2. Recepi hanc particulam e quattuor Codd. Laurentt. supra citt. et Mon. BE; duplices enim tituli comparent etiam in Nostri Dione et in eiusdem Aegyptiis.

3. Alteram hanc inscriptionem exhibent Par. A. Matrit. Mon. C et Vind., qui praemittit *λόγος.*

Cap. I. 4. *τίκτουσιν* (sic) Mon. G.

χναι [5]) πάνδημα ἔκγονα, τοῦτον, ὅταν ἐνθάδε γένηται,
δεῖ κάτω νεύειν, ὡς οὐκ οὔσης [6]) αὐτῷ παῤῥησίας ἐν βα-
σιλείοις οὐδὲ [7]) ἐρυγγάνειν, οὐκ ἔχοντι τῆς πατρίδος τὸν B
ὄγκον, οὔτε παρασχεῖν ἀκροαμάτων χαριέντων τε καὶ
συνήθων ἡδονὴν, καταδημαγωγησόντων [8]) βασιλέα τε
καὶ τοὺς συνεδρεύοντας; ἢ καὶ φιλοσοφίαν ποτὲ ἐπιδη-
μοῦσαν προςήσεσθε, καί τις αὐτὴν οὐκ ἀμφιγνοήσει [9])
δεῦρο διὰ πλείςου φανεῖσαν, ἀλλὰ ξεναγήσει [10]) καὶ κα-
τερεῖ τι αὐτῆς ἀγαθὸν πρὸς οὓς ἄξιον; δεῖται γάρ που [11])
τούτων οὐχ ἑαυτῆς, ἀλλ' ὑμῶν [12]) ἕνεκα, μὴ καταφρονη- C
θεῖσα ἀνόνητος ἂν γενέσθαι. Αὐτὴ [13]) μέντοι παρέξεται
λόγους, οὐ τοὺς ἱλαροὺς δὴ τούτους καὶ διατιθέντας ἐν
ἡδονῇ τὰ μειράκια, ὡς οὔτε ἤθει διαῤῥέοντας, οὔτε
λέξεσι κομμωθέντας [14]) εἰς νόθου κάλλους ἐπίδειξιν· ἀλλ'
ἕτερον τρόπον τοῖς ἐφικέσθαι δυναμένοις τὸν ἐμβριθῆ
τε καὶ ἔνθεον ἀῤῥενωποὺς [15]) καὶ σεμνοὺς καὶ ἀπαξιοῦντας
ἀνελευθέρου θωπείας χάριν τὰ [16]) παρὰ τῶν δυνατῶν 2
A

5. Cf. Calv. Enc. p. 72. BC. Epist. 1. p. 157. E. Hausit ex *Plat.* Gorg. p. 462. C.

6. οὐκ ὕσης Barocc.

7. οὔτε Par. ACD. Monacc. omnes, Barocc. Rehd. Turneb. L. V. Quod sequitur οὐκ abest a Par. A. Ἔχοντα corrrectoris manui debet Par. B.

8. καταδημαγωγησάντων a m. pr., a corr. m. καταδημαγωγησόντων Par. B. Add. Par. C et Vat. 92. gl. θελξόντων.

9. ἀμφαγνοήσει Mon. B. ἀμφιγνωήσει Mon. D. Add. Par. C et Vat. gl. ἀμφιβάλλει (scr. potius ἀμφιβαλεῖ).

10. Vid. *Plat.* Phaedr. p. 230. C.

11. δεῖ τε γάρ που Mon. BB.
αι δή
δεῖτ γάρ που Mon. D. Idem οὐχ αὐτης a. m. pr., a s. ἑαυτῆς.

12. ὑμῶν corr. ex ἡμῶν in Mon. D. Tum καταφωνηθεῖσα Mon. C. Post γενέσθαι male addunt συμβαίη Edd. Venet. 1. 2.

13. Ita c. Edd. Turn. et Venet. 1. 2. Codd. Pariss. Monacc. Barocc. Rehd. αὕτη Petav. 1. 2. Dein αὐτούς, in m. οὐ τὺς a sec. m. Mon. E.

14. κωμμωθέντας Rehd. a s. m. κομωθέντας Par. D. κομμοθέντας Mon. BE. Vid. Plat. Gorg. p. 465. B.

15. ἀῤῥενωποὺς τε Mon. AC et Vind.

16. τὰ delendum censet Turn. in Erratis. Dein περὶ Vind. et Mon. F. Hic tamen in ora παρά.

ἐξωνεῖσθαι. Οἱ δὲ [17]) οὕτως ἄρα ἀσεμφῶς [18]) ἔχουσι, καὶ εἰσὶ πάντολμοι δή τινες, καὶ ὡς ἐν βασιλείοις ἀλλόκοτοι [19]), ὥστε οὐδέ φασιν αὐτοῖς ἀποχρήσειν, εἴ τις ξυγχωρήσει μὴ πάντα ἐκ πάντων ἐπαινεῖν τὰ βασιλέως καὶ βασιλέα· ἀλλ', εἴ πῃ παρείκοι [20]), καὶ λυπήσειν ἀνατείνονται, καὶ ἀπειλοῦσι δήξεσθαι [21]) τὴν καρδίαν, οὐκ ἐν χρῷ μόνον, ἀλλὰ καὶ [22]) μέσην, εἰ ἄρα τις ἀνιαθεὶς [23]) ὠφελήσοιτο.

2.

Πολλοῦ μέντ' [1]) ἂν ἄξιος εἴη βασιλέως ἀκοῇ λόγος ἐλεύθερος· ὁ δὲ ἐφ' ἅπαντι γινόμενος [2]) ἔπαινος, σὺν ἡδονῇ λυμαινόμενος, ἐοικέναι μοι δοκεῖ τῶν φαρμάκων [3]) ἃ μέλιτι δεύσαντες τοῖς ἀπολουμένοις ὀρέγουσιν. B
Οὐκ οἶσθ' ὅτι μαγειρικὴ [4]) μὲν κατακαρυκεύουσα, καὶ νόθους ὀρέξεις ἐκκαλουμένη, λωβᾶται τοῖς σώμασι· [5]) γυμναστικὴ δὲ καὶ ἰατρικὴ [6]) σώζετον ἄμφω τὸ παραυτίκα [7]) λυποῦσαι; Σὲ τοίνυν ἐγὼ βούλομαι τῶν σωζομένων εἶναι, καὶ εἰ μέλλεις [8]) δυσχεραίνειν ἐπὶ τῷ σώζεσθαι. [9]) Κρέα μὲν γὰρ οὐκ ἐᾷ διαῤῥυῆναι [10]) συ-

17. Οἱ (superscr. γρ. εἰ) δὲ Mon. B. — οὔτι, in m. οὕτως Mon. F.

18. Add. gl σκληρῶς Par. C et Vat.

19. ἀλλότ(οι) Mon. C. — αὐτοῖς] Ita Pariss. BCD, Monacc. Barocc. αὐτοῖς Par. A. Mon. A (a pr. m.), Rehd. Vind. c Edd.

20. παρείκοι (η) Rehd. (η a. s. m.) παρήκοι Mon. ACF. παροίκοι Mon. D. παρείκοι (η) Vind.

21. Vid. *Plat.* Conviv. p. 218., A. *Aristoph.* Acharn. v. 1.

22. καὶ a. pr. m. in marg. habet Mon. F.

23. ἀνισθεὶς Mon. E.

Cap. II. 1. μέντ' corr. e μέντοι in Mon. D. — ἀκοῦ, in m. ἀκοῇ Mon. F. ἀκοῆς Mon. D.

2. γενόμενος Par. D.

3. Vid. *Plat.* Cratyl. p. 394. A.

4. Vid. *Plat.* Gorg. 500. B. de re publ. p. 332. CD.

5. σώμασιν Mon. BE.

6. Vid. *Plat.* Gorg. 464. B. p. 517. E et Sophist. p. 228. E.

7. Ita Mon. DF et Rehd. τοπαραυτίκα c. Edd. Codd. Mon. AC. Barocc. Vind. τῷ π. Mon. BE. γρ. τοπαρ. Mon. B. in m. Addunt gl. παρευθὺς Par. C et Vat.

8. μέλλοις Par. A.

9. ἐπὶ τὸ σώζεσθαι. Mon. D.

10. διαῤῥυῆναι c. Edd. Mon.

φότης ἀλῶν· νέου δὲ βασιλέως γνώμην, ὑπ' ἐξουσίας[11]) ᾗ ἂν τύχῃ[12]) βαδιουμένην συνέχει λόγων ἀλήθεια. Οὕτως οὖν[13]) ἀνάσχοισθε τοῦ ξένου γένους τῶν λόγων· ἀλλὰ μὴ ἀγροικίας ἐν ὑμῖν[14]) ἁλώσονται καὶ κατασιγασθεῖεν, πρὶν καὶ βραχὺ προχωρῆσαι, ὅτι μὴ C εἰσὶ[15]) θεραπευταὶ πειθοῦς, νέοις ἡδεῖς καὶ συμπαίστορες· ἀλλὰ παιδαγωγοί τινες, ἀτεχνῶς σωφρονισαὶ, καὶ βαρεῖς ἐντυχεῖν. Εἰ δὲ γένοισθε καρτεροὶ συνουσίαν τοιάνδε βαστάσαι, καὶ μὴ παντάπασιν ὑμῖν ὑπὸ τῶν ἐπαίνων[16]), οὓς ἀκούειν εἰώθατε, τὰ ὦτα ἐκδεδιῄτηται[17]),

"Ενδον μὲν δὴ ὅδ'[18]) αὐτὸς ἐγώ.

3.

Ἐμέ σοι πέμπει Κυρήνη[1]) στεφανώσοντα χρυσῷ μὲν τὴν κεφαλὴν, φιλοσοφίᾳ δὲ τὴν ψυχὴν, πόλις Ἑλληνὶς, παλαιὸν ὄνομα καὶ σεμνὸν, καὶ ἐν ᾠδῇ D

F, item Rehd. (ῡ in ras. posito), διαῤῥαγῆναι Par. AD. Mon. ABCDE. Barocc. Vat. Mon. F in m. Turn. L. V., margg. Edd. Petavv. διαῤῥαγῆναι a. m. pr., e corr. διαῤῥυῆναι Par. B. διαῤῥαγῆναι, superscr. ῆ διαῤῥυῆναι, Par. C et Vat.

11. Fort. ἐπ' ἐξουσίας. Cf. Nostri Epist. 130. p. 265. B. et *Fr. Volckm. Fritzsch.* Quaestt. Lucian. p. 136. sq.

12. οἷ ἂν Mon. C. — τύχοι Par. AB et Mon. AC.

13. οὖν, in m. γρ. ἂν Par. D. — ἀνάσχεσθε Mon. F. Pro οι in ras. η, superscr. ε, Rehd. — ξένου] νέου Mon. C.

14. ὑμῖν ex ἡμῖν enatum videtur in Mon. A, superscriptum est in Mon. D. — ἁλώσονται recepi ex Par. AC. Mon. AD et Barocc. ἁλώσονται (superscr. ω) est in Par. D. ἁλώσοντε in Mon. C. ἁλώσωνται in rell. et Edd. Cf. *Fritzsch.* ad Lucian. Demonact. p. 267. sq.

15. μὴ εἰσι Mon. F.

16. ἀπὸ (superscr. ὑπὸ) τῶν ἐπαίνων Mon. F.

17. Add gl. διέφθαρται Par. C. et Vat.

18. ὁ δ' Barocc. Mon. F. — οὐ (sic) ἐγὼ Mon. D. Vid. Odyss. XXI. 207.

Cap. III. 1. κορίνη, in m. κυρήνη Mon. F. — στεφανώσαντα Mon. G.

μυρίᾳ τῶν πάλαι σοφῶν· νῦν πένης[2]), καὶ κατηφής, καὶ μέγα ἐρείπιον, καὶ βασιλέως δεόμενον, εἰ μέλλει[3]) τι πράξειν τῆς περὶ αὐτὴν ἀρχαιολογίας ἐπάξιον. Ταύτην μὲν δή μοι τὴν ἔνδειαν, ὅταν αὐτὸς ἐθέλῃς[4]), ἰάσῃ, καὶ ἐπὶ σοὶ βυληθέντι παρὰ μεγάλης τε καὶ εὐδαίμονος ἤδη τῆς πατρίδος τὸν δεύτερόν με διακομίσαι σοι ςέφανον. Οἱ λόγοι δὲ[5]) οὐδὲν[6]) νῦν τι δέονται πόλεως, ὥςτε ἐλευθεροςομῆσαι καὶ βασιλέα θαῤῥῆσαι· ἀλήθεια γὰρ δὴ λόγων εὐγένεια, καὶ διὰ τόπον οὐδείς 3 A πω λόγος[7]) αἰσχίων, οὐδὲ κυδίων ἐγένετο. Ἰτητέον οὖν ἅμα τῷ θεῷ[8]), καὶ ἐγχειρητέον τῷ καλλίςῳ τῶν λόγων· ἀληθέςερον δὲ φάναι[9]), τῶν ἔργων. Ὁ γὰρ ἑνὸς ἀνδρὸς, τοῦ βασιλέως, ἐπιμεληθεὶς, ὅπως[10]) ἂν ἄριςος εἴη, τὴν συντομωτάτην ἐβάδισεν ἐπὶ τὸ πάντας μὲν οἴκους ἐπανορθοῦν, πόλεις τε[11]) πάσας, ἔθνη τε πάντα, καὶ μικρὰ καὶ μείζω, καὶ τὰ γείτονα καὶ τὰ πόῤῥω, ἃ πάντα[12]) ἀπολαύειν ἀνάγκη τῆς ὅπως ποτὲ[13]) ἐχούσης τοῦ βασιλέως ψυχῆς. Βούλει δὴ ποιῶμεν[14]) οὕτω τὴν πρώτην, ἵνα μοι καὶ περιμείνῃς[15])

2. νῦν (δὲ) πένης, in m. γρ. πένησσα Par. D. πένις Mon. D. Quod sequitur καὶ om. Par. D.

3. Ita Barocc. μέλοι Mon. D. μέλλοι (λ) rell. c. Edd. Vid. *Heindorf.* ad Plat. Parmenid. p. 291. *Ast.* ad Plat. Politiam p. 418. et Legg. p. 290. *Creuz.* ad Plotin. de pulcritud. p. 384.

4. ἐθέλεις Mon. D.

5. *Οἱ δὲ λόγοι δὲ* a. m. pr., ἐ a s. οἱ δὲ λ. δὴ Mon. A. δη Mon. F.

6. Ita Mon. D., ν erasum in Mon. A. — ἐλευθεροςομίσαι Par. A.

7. λόγος Par. C. λόγος, ων a pr. m. supra posito, Barocc. — λόγων

8. ἅμα τοῦ θεοῦ (ῷ ῷ) Mon. F.

9. Ita a corr. m. Mon. E. φᾶναι Mon. BD.

10. ὅπερ Vind.

11. Ita Pariss. Monacc. Barocc. Rehd. πόλεις δὲ rell. c. Edd. Vid. *Kuhner.* amplior. Grammat. Gr. §. 733. 6.

12. ἅπαντα Mon. F.

13. ὁπώς ποτε Mon. ACD. Barocc. ὅπέρ ποτε Vind.

14. βούλῃ Mon. D. — ποιῶμεν (ῶ) a corr. m. Par. B. ποιοῦμεν Par. D. ποιοῦμεν Par. A. Mon. BE. Rehd.

15. ἵνα μὴ περιμ. Barocc.

τὸν λόγον; σοφὸν γὰρ ἂν εἴη μὴ προσοβῆσαι τὴν θήραν. B [16]) Λέγωμεν δὴ ἅ τε χρεὼν εἴη βασιλέα ποιεῖν, ἅ τε μὴ χρεὼν [17]), ἀντιπαρατιθέντες αἰσχρὰ καὶ σεμνά. Σὺ δὲ τοῖς ἐξ ἑκατέρας μερίδος ἐφιςάμενος, ὅταν ἐπιγνῷς τι προςῆκον, τὸ μὲν ἀγαπᾷν [18]), ὡς ὑπὸ φιλοσοφίας ἐγκεκριμένον· τὸ δὲ ἀποδιοπομπεῖσθαι [19]), καὶ διανοεῖσθαι δή, τὸ μὲν ὡς ἀεὶ ποιήσων· τὸ δὲ ὡς οὐκέτ' [20]) αὖθις. Ἀλλὰ παρὰ τὸν καιρὸν τῶν λόγων ἐπὶ τοῖς μὴ χρεὼν, οἷς ἡμεῖς τε, σύ τε [21]) σαυτῷ συνεπίςασαι, δυςχεραίνων τε φαίνου σαυτῷ καὶ ἐρυθριῶν, ὅτι δὴ πέφηνε σὸν ὃ μὴ ἄξιον εἶναι σόν. Τό τοι C χρῶμα [22]) τοῦτο τὴν ἐκ μετανοίας ἀρετὴν ὑπισχνεῖται· καὶ αἰδὼς αὕτη θεία τε ἐςι [23]) καὶ Ἡσιόδῳ δοκεῖ. Ὁ δὲ ἐπὶ τοῖς ἁμαρτανομένοις ἰσχυρογνώμων, αἰσχυνόμενος ὁμολογίαν ἀγνοίας, οὐ κερδαίνει γνῶσιν ἐκ μετανοίας, οὐδὲ δεῖται [24]) λόγων ἰατρῶν· ἀλλ' ἀνὴρ ἂν φαίη σοφὸς ὅτι κολάσεως. Οὕτω που [25]) τραχεῖά τε ἐκ φροιμίου καὶ χαλεπὴ φιλοσοφία προςφέρεσθαι. Αἰσθάνομαι γάρ τοι [26]) ἐνίων ὑμῶν ἐκταραττομένων τε ἤδη καὶ τὴν ἐλευθερίαν ἐν δεινῷ τιθεμένων. Ἀλλ' D ὑπεσχόμην τε οὕτω ποιεῖν, καὶ τῶν προγνόντων ἦν

16. τὴν θύραν Ed. Turn. Dein λέγομεν. Par. B.

17. χρέων Petav. 1. 2.

18. Superscr. ἀγάπα in Par. C. — ὑποφιλοσοφίας Mon. D. ὑπὸ σοφίας Turn. L. V. et Petav. 1. 2. in m.

19. ἀποδιαπομπεῖσθαι Petav. 2. Mox δὴ e δεῖ corr. in Par. A.

20. ὡς superscr. in Par. A. — οὐκ ἔτ' Mon. DE, οὐκ ἔτ Mon. B.

21. ἡμεῖς, τὲ σύ τε αυτῷ (sic), e mutat. rec. m. Rehd. (ἐγώ and σε written above)

22. χρῶμα, in m. γρ. χρῆμα Par. C. et Barocc. Vid. *Aristot.* Eth. IV. 9. et *Diogen.* Laert. VI. 54. T. I. p. 341. ed. Meib.

23. ἐςιν Par. AC. et Petav. 1. 2. ἐςι c. Ed. Turn. Codd. rell. — Ἡσιόδῳ] Opp. et D. v. 195 sqq.

24. οὐ δεῖται Mon. D. — λόγων superscriptum a pr. m. in Rehd. Vid. *Aeschyl.* Prometh. v. 379.

25. οὕτω που Rehd. Dein τ' pro τε Monacc. ACD. Barocc. Rehd.

26. τοι om. Rehd.

δήπου φράξασθαι[27]) καρτερῶς καὶ ἀντέχειν ταῖς ἐμβολαῖς.

4.

Καίτοι ταῦτα σύ τε χαίρεις[1]) ἀκούων, καὶ ἅπαντες ὑμνοῦσι. Κἀγὼ σοὶ σύμφημι μέγεθος ἀρχῆς ἑνὶ μηδενὶ τοσόνδε παρεῖναι, καὶ πλούτου θημῶνας ὑπὲρ τὸν πάλαι Δαρεῖον, καὶ ἵππον πολλακιςμυρίαν[2]), καὶ τοὺς χρωμένους τοξότας τε καὶ θωρακοφόρους, πρὸς οὓς ἡγεμόνος τυγχάνοντος[3]) ἀσθενὲς ἅπαν τὸ ἀνθιςάμενον· πόλεις δὲ ἀριθμὸν νικῶσαι[4]) προςκυνοῦσιν, οὐδὲ ὁρώμενον αἱ πλείους[5]), οὐδὲ ἰδεῖν προςδοκῶσαι τὸ κρεῖττον 4 A εὔχεσθαι θέαμα. Ταῦτα σοὶ καὶ παρ' ἡμῶν ἅπαντος[6]) ἂν μᾶλλον ἀληθῆ λέγοιτο. Τί οὖν τὸ μὴ συμβαῖνον ἡμῶν[7]) ἐκείνοις; Οἱ μὲν ἐντεῦθεν σοὶ πλέκουσιν ἔπαινον, καὶ καλοῦσιν[8]) εὐδαίμονα· ἐγὼ δὲ ἥκιςα μὲν ἂν ἐντεῦθεν ἐπαινέσαιμι, μάλιςα δὲ ἂν μακαρίσαιμι. Ἔςι δὲ[9]) οὐ μία φύσις, ἀλλ' ἕτερον ἑκάτερον, μακαρισμὸς καὶ ἔπαινος. Μακαρίζεται μὲν[10]) γάρ τις

27. Superscr. γρ. φράττεσθαί τε in Par. D.

Cap. IV. 1. χαίροις Mon. AC.

2. Ita Mon. C, ita et a m. pr. Mon. A, a s. πολλάκις μυρίαν, ut rell. et Edd.

3. ἡγεμόνος (σοῦ) Paris. C. — τυγχάνοντος pro τυγχάνοντας praebuerunt Codd. omnes, Turn. L. V. et margg. Petav. 1. 2.

4. ἀριθμὸν νικῶσαι — — αἱ πλείους, οὐδὲ] Habet haec Rehd. a pr. m. ad marg. adscripta.

5. Cf. *Xenoph.* Cyrop. I. 1. §. 3.

6. ἃ παντὸς Par. ABC. Mon. ABE. Barocc. Rehd. — λέγοιτο Par. AC. Vind. et a corr. m. Barroc., probante *Boissonadio* Anecdott. Vol. IV. p. 283. λέγοιντο rell. c. Edd.

7. ὑμῶν Rehd. et Mon. F. Dein οἱ μὲν om. Mon. AC et Vind.

8. ἔπαινον καὶ καλοῦσιν] Habet haec Mon. C. in marg.

9. δὲ (γὰρ) Mon. F. γὰρ Mon. AC. Vind. Mox ἑκατέρου Mon. C. ἑκάτερον, ον a s. m. per ras. corr., Mon. A. Dein μακαρισμός τε Par. A. Mon. BE. τε superscriptum in Mon. D. Vid. *Aristotel.* Ethic. I. 12. Polit. VII. 2. Rhet. I. 9. Eudem. II. 1.

10. μὲν in Par. ABD et Mon. BDE omissum Rehd. inter versus habet. Mox ab eodem τις abest. — ἐπὶ abiit in ἐπεὶ in Mon. F.

ἐπὶ τοῖς ἔξωθεν· ἐπαινεῖται δὲ ἐπὶ τοῖς ἔνδοθεν, ἐφ' ὧν εὐδαιμονία τὴν ἕδραν ἴσχει. Κἀκεῖνο μέν ἐςι τύχης ἀτέκμαρτον[11]) δῶρον· τῦτο δὲ γνώμης[12]) οἰκεῖον ἀγαθόν. B Ταύτῃ καὶ τὸ μὲν ἐςι παρ' ἑαυτοῦ βέβαιον· εὐτυχία δὲ πλάνον καὶ πολλάκις γε ἀντιπεριϊςάμενον εἰς τοσοῦτον τὸ ἀντικείμενον. Καὶ δεῖ[13]) μὲν ἐπὶ τὴν φυλακὴν αὐτοῦ [τοῦ] θεοῦ, δεῖ δὲ νοῦ, δεῖ δὲ τέχνης, δεῖ δὲ καιροῦ, δεῖ δὲ ἔργων πολλῶν[14]) καὶ πολλαχοῦ, καὶ παντοδαπῶν δὲ[15]) τούτων, ὧν οὔτε πεῖρά ἐςιν[16]), οὔτε ἔχει πειρωμένοις εὐμάρειαν. Οὐ γὰρ ὥςπερ παραγίνεται τοῖς ἀνθρώποις μακαρισμὸς, οὕτως ἀπραγματεύτως διασώζεται· ἀλλ' ὁρᾷς γὰρ τίσι βίοις αἱ τραγῳδῶν σκηναὶ[17]) κεχορήγηνται· οὐκ ἀφ' ὧν δυςτυχοῦσιν ἰδιῶται καὶ πένητες, ἀλλ' ἀφ' ὧν ἰσχυροὶ καὶ C δυνάςαι καὶ τύραννοι. Οὐ γὰρ χωρεῖ μέγεθος συμφορᾶς οἰκία μικρὰ, οὐδὲ ὄγκον ἀτυχημάτων πτωχεία. Τὸν δὲ λαμπρὸν ταῖς τύχαις, τοῦτον ἔςι καὶ[18]) κινδύ-

ἀτελείωτον
11. ἀτέκμαρτον Par. B et Mon. B.

12. γνώμη (immo γνώμῃ) Mon. F. Mox idem τὸ μὲν ἐςι. — παρ' ἑαυτῇ Mon. C. Ultimam pronominis ἑαυτοῦ per ras. habet Mon.
τὸ
A. Infra τον ἀντικείμενον Mon. F.

13. δεῖ enatum e δὴ in Mon. D. Articulum ante θεῦ a Pariss. Monacc. Rehd. omissum seclusimus.

14. πολλοῦ Mon. F.

ἡ
15. δὲ Mon. D.

16. πεῖρα οἷς sine ἐςὶν Par. ABD. Mon. ABCDE. Rehd. Vind. πεῖ-
τισιν
ρα οἷς, οὔτε Par. C. οἷς a s. m. mutatum in ἐςι in libro Barocc. πεῖρα οἷς ἐςι dat Mon. F. Unde in pr. edit. de coniectura scripsimus π. τίς ἐςιν. Cod. Vat. addit hoc scholium: Ὁ λέγει τοσοῦτόν ἐςιν· ὅτι ὧντινων τούτων, τουτέςι τοῦ νοῦ, τῆς τέχνης, τοῦ καιροῦ καὶ τῶν πολλῶν ἔργων, οὔτε ἡ πεῖρα ἔχει εὐκολίας, ἤγουν τὸ μαθεῖν ταῦτα διὰ πείρας· ἔςι γὰρ χαλεπὸν ὡς ὄντος πολλοῦ· οὔτε αὖθις ἔχει εὐκολίας τοῖς μαθοῦσι ταῦτα πείρᾳ χρῆσθαι τούτοις πολλοῖς οὖσιν, ὡς εἴπομεν, καὶ διὰ τοῦτο ἀδυνάτοις. Cuius annotationis syllabas aliquot desideratas in Codice, cuius margo a bibliopego parum dextre recisus fuit, Bassus meus ex ingenio supplevit. — Dein εὐμαρίαν Mon. C.

17. ἐκ τραγῳδῶν σκηναὶ Mon. D. Verba οὐκ ἀφ' ὧν δυςτυχ. — ἰσχυροὶ a diversa manu in m. habet Rehd. Post ἰσχυροὶ addunt τε Mon. ACF. Vind.

18. Abest καὶ a Par. A et Mon.

νοις ἐπιφανῆ γενέσθαι καὶ θατέρᾳ μερίδι τοῦ δαίμονος. Ἀλλὰ καὶ πολλάκις μὲν ἦρξατο εὐτυχίας ἀρετὴ, καὶ ἔπαινος ἡγήσατο μακαρισμοῦ τοῖς ἀνθρώποις, ὥσπερ αἰσχυνομένης τῆς τύχης ἀρεταῖς ἐπιδήλοις[19]) μὴ μαρτυρῆσαι. Κἂν δεήσῃ τοῦτο πιστώσασθαι παραδείγμασι, μὴ θύραθεν αὐτὸ μετίωμεν· ἀναπέμπασαι δὲ τὸν πατέρα, καὶ ὄψει τὴν ἀρχὴν αὐτῷ μισθὸν ἀρετῆς D δοθεῖσαν: Τύχη δὲ ἀρετῆς ἀναίτιος· ἀλλὰ τῶν γε κατ' ἀρετὴν ἔργων ἤδη πού τινες καὶ τύχην συνεπεσπάσαντο. Τούτοις ἐναρίθμιος εἴης, ὦ βασιλεῦ, ἵνα μὴ μάτην δεῦρο φιλοσοφία φθέγγηται. Εἴη σοὶ τὸ[20]) βασιλεύειν ταύτῃ σεμνὸν, ὅτι τὴν ἀρετὴν ἐγύμνασε καὶ προήγαγε, δεομένην ὕλης ἀποχρώσης οἰκείῳ μεγέθει, καὶ οὐκ ἂν χωρηθεῖσαν[21]) ἐν ὑποθέσει βίου βασιλείας ἐλάττονι.

5.

Ἀσκητέον οὖν τὴν ψυχὴν ἔχειν βασιλικῶς, καὶ 5 ἀπολογητέον ὑπὲρ τῆς τύχης, ἵνα μὴ ἀλογίας διώκη- A ται, ὡς οὐχ ὁμοίοις[1]) φροιμίοις σοί τε καὶ τῷ πατρὶ προῆλθεν ὁ βίος. Τῷ μὲν ἡ στρατεία[2]) βασιλείαν προυξένησεν· σὲ δὲ στρατεύει τὸ βασιλεύειν[3]), καὶ ὀφείλεις ἀρετὴν τῇ τύχῃ. Ὁ μὲν τἀγαθὰ[4]) πόνοις ἐκτή-

BE; in Par. B superscriptum est. Alterum ante θατέρᾳ om. Par. BC. Mon. A. DF. Barocc. Vind.; delet Rehd. Cuius loco legitur ἐν in Par. A.

19. ἐπιδήλως (οις superscr.) Mon. BE.

20. Articulum a rec. m. inter versus habet Rehd.

21. χορηγηθεῖσαν Par. D. — βασιλεία, c a r. m. superscr., Rehd.

Cap. V. 1. Abest ὡς a Rehd. Dein οὐχ' ὁμοίοις (sic) Barocc.

2. στρατεία e στρατία correctum est in Rehd. Tum βασιλείαν ἡ στρατεία προυξένησεν Mon. F. προυξένησεν item Mon. B; recte προυξένησεν Mon. E. προυξένησε rell. c. Edd.

3. τῷ βασιλεύειν Mon. D. Pro ἀρετὴν scribendum videtur ἀρχήν. De utriusque vocabuli confusione haud infrequenti vid. Coraius ad Plutarch. T. II. p. 440. Iacobsius ad Antholog. Palat. p. 551.

4. τ' ἀγαθὰ Mon. D.

σατο· σὺ δὲ ἀπόνως ἐκληρονόμησας. Δεῖ δὴ πόνων
ἐπὶ τὴν φυλακήν. Καὶ τοῦτ' ἔςιν[5]), ὃ πάλαι λέγω, τὸ
χαλεπὸν καὶ μυρίων[6]) ὀμμάτων δεόμενον, μὴ, ὅπερ
εἴωθεν ἡ τύχη ποιεῖν, ἀνακάμψῃ μεταξὺ τῆς ὁδοῦ, B
καθάπερ οἱ μοχθηροὶ τῶν συνοδοιπόρων. Τούτοις γέ
τοι τὸ ἀςάθμητον αὐτῆς οἱ σοφοὶ προςεικάζουσιν.[7])
Ὁρᾷς ὅτι καὶ τῷ πατρὶ, καίτοι σαφῶς ἐπὶ κατορθώ-
μασι γενομένης τῆς ἀναῤῥήσεως, οὐδὲ τὸ γῆρας ἀκόνι-
τον[8]) ἀφῆκεν ὁ φθόνος· οὐκοῦν οὐδὲ ὁ θεὸς ἀςεφά-
νωτον·[9]) ἀλλ' ἐπὶ δύο τυράννους ἐλθὼν καὶ ἄμφω
βαλὼν, ἐπὶ τῷ δευτέρῳ τροπαίῳ καταλύει τὸν βίον,
ἀνθρώπων μὲν οὐδενὶ, τῇ δὲ φύσει παραχωρήσας[10]),
πρὸς ἣν οὔτε ὅπλον ἰσχυρὸν, οὔτε νοῦς εὐμήχανος·
ἐντάφιόν τε[11]) ἔσχε τὴν ἀρετὴν, ἀδήριτον[12]) ὑμῖν C
τὴν βασιλείαν καταλιπὼν, ἣν σώζοι μὲν ὑμῖν[13]) ἀρε-
τὴ, σώζοι δὲ διὰ τῆς ἀρετῆς ὁ θεός. Ὡς ἀπανταχοῦ δεῖ
θεοῦ, καὶ οὐχ ἥκιςα παρὰ τοῖς οὐκ ἀθληταῖς, οὐδὲ
αὐτουργοῖς, ἀλλ', ὥςπερ ὑμῖν[14]), κληρονόμοις τῆς τύ-
χης· ἧς ὅτῳ[15]) πλεῖςον ἔνειμεν ὁ θεὸς, καὶ ὃν ἔτι κο-
μιδῇ[16]) παῖδα μέγαν[17]) βασιλέα καλεῖσθαι πέποικε, τοῦ-
τον δεῖ[18]) πάντα μὲν πόνον αἱρεῖσθαι, πᾶσαν δὲ ῥᾳ-

5. τοῦτό ἐςιν Barocc.

6. κυρίων, in m. μυρίων Mon. E.

προςει
7. παρεικάζουσιν Par. C. — Ὁρᾷς ab al. m. Rehd.

λ
8. ἀκόνιτον, λ a s. m. superscripto, Mon. C. Voluit qui λ supra posuit, haud dubie ἀκλόνητον. Addunt gl. ἄμοχθον Par. C et Vat.

9. H. l. puncto distinguunt Turn. et Petav. 1.; altera Petaviana interrogationis signum habet, quo non opus.

ἡττηθεὶς
10. παραχωρήσας Par. C. et Vat.

11. Abest τε ab Edit. Patusae. Artic. ante ἀρετὴν om. Mon. A.

οι
12. ἡμῖν Par. D. Tum σώζει Mon. D.

13. ἡμῖν Barocc.

14. ὥςπερ ἡμῖν Mon. BE.

15. ὅταν Mon. F.

16. κομιδῇ idem liber.

αι
17. μέγα Mon. BDE. — καλεῖσθε Par. B.

18. δὴ Barocc.

σώνην ἀπολιπεῖν, ὕπνου μὲν ὀλίγον[19]), φροντίδων
δὲ πλεῖσον μεταλαγχάνοντα, εἰ μέλλει[20]) τις τὸ βασι- D
λέως ὄνομα προσῆκον αὐτῷ[21]) περικεῖσθαι. Εὖ γὰρ[22])
ὁ παλαιὸς ἔχει λόγος, ὡς οὐ τὸ πλῆθος τῶν ὑπη-
κόων ποιεῖ βασιλέα, οὐ μᾶλλον, ἢ τύραννον, ἐπεὶ μηδὲ
πλῆθος προβάτων ποιεῖ ποιμένα, οὐ μᾶλλον, ἢ μά-
γειρον[23]), ὃς ἐλαύνει κατακόψων αὐτά, καὶ[24]) ἐμφο-
ρηθησόμενός τε αὐτός, καὶ ἄλλοις δεῖπνον ἀποδωσό-
μενος.

6.

Ἴσοις ὅροις[1]) φημὶ βασιλέα τε καὶ τύραννον διεστά-
ναι, καίτοι τὰ παρὰ τῆς τύχης ἀμφοῖν ὅμοια. Ἄρ-
χουσιν ἑκάτερος ἀνθρώπων πολλῶν· ἀλλ' ὃς μὲν ἂν 6
ἑαυτὸν συντάττῃ τῷ φαινομένῳ τῶν ἀρχομένων κα- A

19. ὀλίγον corr. ex ὀλίγου a pr. m. in Mon. F. In Mon. D. sec. m. πλείστων in πλεῖστον mutavit. Cf. De Provid. p. 103. A. De re vid. Iliad. II. 24. *Xenoph.* Cyrop. I. 6. §. 8 et 42. Agesil. V. §. 2—3. VII. §. 1.

20. Ita pro vulg. εἰ μέλλοι iam in pr. edit. de coniectura scripsimus, quae confirmatur nunc libro Barocc. Dein τοῦ βασιλέως ὄνομα Mon. F. Rehd.

21. αὐτῷ recepimus e Par. ACD. Monacc. Rehd. Vind. et Patusae edit. αὐτῷ rell. libri scripti et editi.

22. Pro γάρ, quod Mon. A in ras. habet (a s. m.), legitur δὲ in Par. C. Barocc. Mon. C. — ἔχει deest in Turn. L. V. Vid. Plat. de re publ. p. 345. C. *Aristotel.* Eth. VIII. 11. §. 1. *Dion. Chrysost.* Or. IV. de Regn. p. 156. *Themist.* Or. I. p. 10. A. Or. XIII. p. 171. C. Or. XV. p. 186. CD.

23. ἐπεὶ — μάγειρον Mon. C in m. habet. Inter μάγειρον et ὃς in Mon. A. patet lacuna, erasis procul dubio verbis βασιλέα, οὐ μᾶλλον, ἢ τύραννον, quae supra, utpote neglecta, sec. m. supplevit.

24. καὶ delent Par. A et Barocc. — Dein ἀμφορηθ. Mon. F.

Cap. VI. 1. Respexit *Plat.* Politic. p. 276. E. sq. et et 301. A. sq. Cf. *Xenoph.* Memorabb. Socrat. IV. 6. §. 12. *Aristot.* Eth. VIII. 10. §. 2. 3. *Dio Chrysost.* Or. III. de Regn. p. 114. *Themist.* Or. II. p. 35. CD. *Basil.* Magn. Homil. in princip. proverbb. T. II. p. 99. AB. ed. Garn. — ἀλλ' ὃς μὲν] Vid. *Xenoph.* Cyrop. I. 6. §. 8. et VIII. 1. §. 21. sq. Memorabb. Socrat. III. 2. §. 1—3. *Dio Chrysost.* Or. I. de Regn. p. 47. sq. et 50. Or. III. de Regn. p. 112. sq. Or. IV. de Regn. p. 150. 156.

λῷ, καὶ ἐθέλῃ[2]) μοχθεῖν, ἵνα μηδὲν ἐκείνοις ᾖ μοχθηρὸν, καὶ προκινδυνεύειν, ἵνα[3]) ἐπ' ἀδείας ἐκεῖνοι βιοτεύωσι, καὶ ἀγρυπνεῖν καὶ συνεπιᾶσθαι μερίμναις, ἵνα νύκτωρ καὶ μεθ' ἡμέραν σχολάζωσι δυσχερῶν, οὗτός ἐστιν ἐν προβάτοις μὲν ποιμὴν[4]), ἐν ἀνθρώποις δὲ βασιλεύς. Ὅστις δὲ ἀπολαύει[5]) τῆς[6]) ἡγεμονίας εἰς τρυφὴν καὶ καθηδυπαθεῖ[7]) τὴν ἐξουσίαν, οἰόμενος δεῖν ἐμπιπλάναι[8]) τὰς αὐτὸς[9]) αὑτοῦ πάσας ὀρέξεις, ὅθεν οἰμώξεται[10]) τὸ ἀρχόμενον, τοῦτο κέρδος τοῦ πολλῶν ἄρχειν τιθέμενος, τὸ παρὰ πολλῶν αὑτῷ θεραπεύεσθαι τῆς ψυχῆς τὸ ἡδόμενον· καὶ καθάπαξ εἰπεῖν, ὅστις οὐ B
πιαίνει τὴν ἀγέλην, ἀλλ' αὐτὸς ὑπὸ τῆς ἀγέλης θέλει[11]) πιαίνεσθαι, τοῦτον καλῶ μάγειρον ἐπὶ βοσκημάτων, τοῦτον ἀποφαίνω τὸν τύραννον, ὅταν ᾖ δῆμος ἔλλογος[12]) τὸ ἀρχόμενον. Εἷς οὗτος βασιλείας σοὶ γνώμων·[13]) σὺ δὲ ἤδη σαυτὸν πρόσαγε τῷ βασανιστηρίῳ.[14]) Κἂν μὲν ἐφαρμόζῃς, χρῆσθαι[15]) δικαίως τῇ σεμνῇ προσηγορίᾳ τοῦ σεμνοῦ πράγματος·

2. ἐθέλει Mon. ABCE.

3. ἵν' Mon. BE. — ἐπαδείας Mon. D. ἐπ' ἀδίας Mon. C.

4. Vid. *Plat.* de re publ. p. 343. B. *Xenoph.* Cyrop. VIII. 2. §. 14. *Dio Chrysost.* Or. I. de Regn. p. 48. et Or. IV. p. 156. *Max.* Tyr. XII. 7. p. 137.

5. ἀπολαύοι Par. D.

6. Articulum in Mon. A s. m. superscripsit.

7. In Par. C. Barocc. et Vat. addita est haec notula: καθηδυπαθῶ αἰτιατικῇ· συντάσσεται δὲ καὶ μετὰ γενικῆς.

8. ἐπιμπλάναι (sic) Barocc. ἐκπιμπλάναι Par. C. Mon. A. ἐκπινμπλάναι (sic) Mon. C. ἐμπιπλάσθαι Mon. BE. ἐμπιπλᾶσθαι Mon. G.

9. αὐτός, quod intercidit in Edd. Petav. 1. 2. et Patus. ex Ed. Turn. et Codd. revocavi. Dein ἑαυτοῦ Edd. Venet. 1. 2. αὐτοῦ Pariss. Mon. BCEF. Barocc. Rehd.

10. οἰμώζεται Mon. C. Rehd.

11. ἐθέλει Mon. CD.

12. ἐλλόγιμος Mon. D. ἄλογος Patus.

13. Ita c. Edd. Cod. Mon. F. βασιλείας σοι γν. rell., excepto Par. A, qui habet οὗτός σοι (sic a sec. m.) βασ. γν. — γνώμων καὶ κανὼν Mon. D.

14. Inepte addit idem Mon. κἂν σεμνοῦ πράγματος. Quae tamen punctis sunt notata.

15. Ita pro vulg. χρῆσαι Par. BCD. Monacc. Rehd. Vind. Silet Barocc.

ἀφαρμόζων δὲ, ἐπανορθοῦν πειρῶ τὰ διάστροφα καὶ
τῷ κανόνι προσφύεσθαι. Οὐ γὰρ ἀπογινώσκω[16]) τῆς
ἡλικίας χωρῆσαι πᾶσαν ἐπίδοσιν, μόνον εἴ τις αὐτὴν
εἰς ζῆλον[17]) ἀρετῆς μυωπίσειεν· ἰσχυρὸν γὰρ ἡ νεό- C
της ἐφ' ἑκάτερα[18]) ῥοπῇ, ὥσπερ οἱ ποταμοὶ ταῖς δο-
θείσαις ὁδῶν ἀφορμαῖς, ἀπληστότερον ἐπεξέρχονται.[19])
Ταύτῃ καὶ δεῖ[20]) τῷ νέῳ βασιλεῖ φιλοσοφίας ἢ προ-
λαμβανούσης[21]) αὐτὸν, ἢ ἀνθελκούσης ἀπὸ τῆς εἰς
ἑκάτερον ἐκροῆς· ἄλλαι μὲν γὰρ[22]) ἄλλαις ἀρεταῖς[23])
κακίαι γείτονες, καὶ ἀφ' ἑκάστης ὄλισθος οὐκ εἰς ἑτέραν,
ἀλλ' εἰς τὴν γείτονα. Βασιλείᾳ δὲ τυραννὶς παροι-
κεῖ καὶ μάλα ἀγχίθυρος, καθάπερ ἀνδρείᾳ[24]) μὲν
θρασύτης, ἐλευθεριότητι δὲ ἀσωτία· καὶ ὁ μεγαλό-
φρων[25]), ἢν μὴ[26]) παρὰ φιλοσοφίας εἴσω τῶν τῆς
ἀρετῆς ὅρων φυλάττηται, προκύψας, ἀλαζών ἐστι[27]) D
καὶ φαῦλος[28]) τὴν γνώμην ἀντὶ τοῦ μεγαλόφρονος.

16. Respexit *Plat.* Theaetet. p. 146. B.

17. πρὸς ζῆλον Barocc. — μυωπήσειεν, a corr. m. μυωπίσειεν [κινήσειε] Par. B. μυωπίσειεν Par. C. et Vat. Cf. *Boissonad.* ad Marin. Vit. Procl. p. 74.

18. ἐφεκατέρα Mon. D. ἐφ' ἑκατέρᾳ Par. D et Turn. L. V.

ον ον

19. ἐπεξέρχεται (ε per ras. posito) Rehd.

20. δεῖ correct. e δὴ in Mon. D.

21. προσλαμβανούσης Par. ABCD. et Mon. ABCDE.

22. Vat. in marg.: Σκόπει ἐνταῦθα τίνες τῶν κακιῶν ἀντιπάθειαν ἔχουσι πρὸς τὰς ἀκολούθους σφῶν ἀρετάς.

23. Margo libri Vat.: Τριμερὴς ἐστιν ἡ ψυχὴ, καθὼς οἵ τε ἔξω φιλόσοφοι καὶ οἱ τῆς ἐκκλησίας διδάσκουσι· τὸ μὲν γάρ ἐστιν αὐτῆς λογικὸν, τὸ δὲ θυμικὸν, τὸ δὲ ἐπιθυμητικόν. Ἡ οὖν ἀρετὴ μὲν τοῦ λογικοῦ ἡ φρόνησις· τοῦ μὲν θυμικοῦ ἀνδρεία (fort. ἡ ἀνδρεία)· τοῦ δὲ ἐπιθυμητικοῦ σωφροσύνη (fort. ἡ σωφρ.)· ὅλης δὲ τῆς ψυχῆς ἡ δικαιοσύνη, καθάπερ Ἀριστοτέλης φησί. Vid. *Aristotel.* Eth. II. 6 — 9. et Categor. VIII. 22. coll. *Gregor.* Naz. Or. XLIII. p. 819. D.

24. ἀνδρείᾳ in Mon. A abiit in ἀνδρίᾳ, idque habent etiam Par. AC. Mon. BE. Vind. ἀσωτία enatum est ex ἀσωτεία in Mou. D.

25. Cf. *Aristot.* Eth. IV. 3 et 7.

26. εἰ μὴ Mon. ACD. Qui ad ὅρων pertinet, articulum Codici Mon. A. sec. m. dedit.

27. Ita Par. A (e corr.) et CD. Monacc. Barocc. Rehd. ἐσται vulg.

28. χαῦνος coni. *Bevingius* in

Μὴ τοίνυν ἄλλην, ἀλλὰ τὴν βασιλείας νόσον, [τὴν][29] τυραννίδα, δείδιϑί[30] τε καὶ διαγίνωσκε, χαρακτῆρσι τοῖς τεϑεῖσιν ὑπὸ τοῦ λόγου[31] χρώμενος· μεγίςῳ δὲ, ὅτι βασιλέως μὲν ἐςι τρόπος ὁ νόμος, τυράννου δὲ ὁ τρόπος νόμος[32]· ἡ δὲ ἐξουσία κοινή τίς ἐςιν ὕλη, καὶ μαχομένων τῶν βίων.

7.

Εὐμοιρίας μὲν οὖν καὶ εὐδαιμονίας τὰ ἄκρα πατεῖ πᾶς, ὅτῳ φύσει πάντα μὲν ἕπεται[1]) τῇ βουλήσει· 7 A ἕπεται δὲ ἡ βούλησις τῇ φρονήσει, καὶ δεσπότις[2]) οὖσα τῶν ἔξω, παραχωρεῖ τῆς ἀρχῆς τῇ συνοίκῳ τῇ κρείττονι, καὶ δέχεται παρ' αὐτῆς τῶν πρακτέων συνϑήματα.[3]) Οὐ γὰρ ἀπόχρη δυναςεία[4]) πρὸς εὐδαιμονίαν, οὐδ' ἐν ἰσχύϊ[5]) τὸ μακάριον ἔϑηκεν ὁ ϑεὸς, ἀλλὰ δεῖ παρεῖναι, μᾶλλον δὲ προεῖναι τὴν φρόνησιν, ἥτις ἂν κάλλιςα τῷ δύνασϑαι χρήσαιτο. Καὶ τοῦτον ἐγὼ τελεώτατον ἄνδρα καὶ βίον ἀναγορεύω, τὸν ἄρτιον ἀπ'

novv. Annall. philologg. et paedagogg. cura *Iahnii*, *Seebodii* et *Klotzii*. Tom. suppl. I. p. 343.

29. Articulum om. Codd. quattuor Pariss. Mon. ABCDE. Rehd. Vind. Quare uncinis coërcui.

30. δίδιδι Par. D. διαγίνωσκε (superscr. διακρίνε) Par. et Vat.

31. ὑπὸ τοῦ νόμου Mon. F.

32. τυράννου δὲ ὁ τρόπος νόμος (superscr. β α) Barocc. Ita haec verba videntur esse transponenda, quo ordine leguntur etiam apud *Laur. Lyd.* de magistrat. rei publ. Roman. I. 3. p. 16.: Ἔςι γὰρ βασιλέως μὲν τρόπος ὁ νόμος, τυράννου δὲ νόμος ὁ τρόπος.

Cap. VII. 1. φύσει μὲν πάντα ἑπ. Par. C. πάντα μὲν φ. ἕπεται (sic) Mon. F. Vid. *Plat.* Legg. p. 687. E.

2. δεσπότης (superscr. ι) Mon. G. ι a m. emend. habet Rehd. δεσπότης Mon. CDF.

3. Legendum videtur aut c. Venet. 1. 2. τὰ τῶν πρακτέων συνϑήματα aut τῶν πρ. τὰ σ. (conf. De Prov. p. 128. D. Epist. 67. p. 211. B. et 215. B.). — συνϑέματα (superscr. η) Par. B. συνϑέματα (superscr. διατάξεις) Par. A. συνϑήματα Par. C. Vat.

4. Respexit Epicuri sententiam ap. *Plutarch.* de aud. poet. p. 37. A., ubi cf. *Wyttenbach.* T. I. p. 225. sq. ed. Lips.

5. οὐδὲ ἐν ἰσχύϊ ABCDE. οὐδὲν ἰσχ. Mon. F.

ἀμφοῖν [6]), καὶ οὐ θατέρᾳ σκάζοντα, ὃς ἄρχειν ἔλαχεν, B ἄρχειν εἰδώς· ὡς ἔστιν ἄμαχον, ὅταν ἰσχὺς καὶ σοφία συγγένωνται [7])· διαληφθεῖσαι [8]) δὲ ἀπ' ἀλλήλων, ῥώμη τε ἀμαθὴς καὶ φρόνησις ἀσθενής, εὐχείρωτοι γίνονται. Καὶ ἐγὼ τοῦτο τῶν σοφῶν Αἰγυπτίων ἐθαύμασα. Τὸν Ἑρμῆν, Αἰγύπτιοι [9]) διπλῆν ποιοῦσι τὴν ἰδέαν τοῦ δαίμονος [10]), νέον ἱσάντες παρὰ πρεσβύτῃ, ἀξιοῦντες, εἴπερ τις αὐτῶν μέλλει [11]) καλῶς ἐφορεύσειν, ἔννουν τε εἶναι καὶ ἄλκιμον, ὡς ἀτελὲς εἰς ὠφέλειαν θάτερον παρὰ θάτερον. Ταῦτ' ἄρα καὶ ἡ Σφὶγξ αὐτοῖς ἐπὶ C τῶν προτεμενισμάτων [12]) ἱδρύεται, τοῦ συνδυασμοῦ [13]) τῶν ἀρετῶν ἱερὸν σύμβολον, τὴν μὲν ἰσχὺν θηρίον, τὴν δὲ φρόνησιν ἄνθρωπος. Ἰσχύς τε γάρ, ἔρημος ἡγεμονίας ἔμφρονος, ἔμπληκτος [14]) φέρεται, πάντα μιγνύ-

ἀ
6. ἐπ' ἀμφοῖν Mon. BG. ἐπ' ἀμφοῖν Par. Mon. AF. Barocc. — οὐ θάτερα Turn. L. V. οὔθ' ἑτέρᾳ Par. A. Mox superscriptum ὃς in Par. D.

7. Vid. *Plat.* de re public. p. 473. CD.

8. διαληφθεῖσαι mutatum est in διαλειφθεῖσαι in Par. B. Add. gl. διαχωρισθεῖσαι Vat.

9. *Τὸν Ἑρμῆν, Αἰγύπτιοι κτλ.*] Ante haec verba puncto distinguunt Codd. Monacc. omnes; in Rehd. interpunctionis nota erasa est. Edd. post *Ἑρμῆν* puncto distinguunt, commate Cod. Mon. F. Margo Barocciani habit hoc scholium: — *Τὸν Ἑρμῆν Αἰγύπτιοι πρὸς τὸν νέον ἱσαντες σύναπτε.* Plenius Par. C et Vat.: *Τὸ* (in Vat. rec. m. *τὸ* mutavit in *τὸν*) *Ἑρμῆν πρὸς τὸ* (*τὸν* Vat.) *νέον ἱσάντες σύναπτε, λέγων οὕτως· τὸν Ἑρμῆν* (Vat. addit *δὲ*) *Αἰγύπτιοι νέον ἱσάντες παρὰ πρεσβύτῃ, διπλῆν ποιοῦσι τὴν ἰδέαν τοῦ δαίμονος· ἤτοι αὐτόν, ὡς ἔχει τὸ τοῦ Πολυδεύκους· Ὁ Πρωτεὺς ὁ Φάριος τὸ θαῦμα τὸ Ὁμηρικόν, πολλαὶ μὲν αὐτοῦ καὶ πολυειδεῖς αἱ μορφαί· ἤγουν αὐτός* (duo novissima vocabula om. Vat.). Cf. De Prov. p. 101. B — C. ibique scholium.

γρ. σώματος
10. τοῦ δαίμονος Mon. B. —
πλησίον
παρὰ πρεσβύτῃ Par. C. Vat.

11. μέλλοι Codd. et Edd. At cf. De Prov. l. c. et quae supra annotavi Cap. III. et V. — κα-
ς
λῶν Mon. F. — ἐφοράσειν Mon. D.

προπυλαίων
12. προτεμενισμάτων Par. C. Vat.

13. συνδοιασμοῦ Mon. D.

μεμηνυῖα
14. ἔμπληκτος Par. C. Vat. Barocc. ἔκπληκτος Turn. L. V.

ουσα [15]) καὶ ταράττουσα πράγματα· καὶ νῦς ἀχρεῖος εἰς πρᾶξιν, ὑπὸ χειρῶν οὐχ ὑπηρετούμενος. Κόσμος μὲν οὖν βασιλέως [16]) ἀρεταὶ πᾶσαι· φρόνησις δὲ ἁπασῶν βασιλικωτέρα. Ταύτην μοι [17]) ποίησαι πάρεδρον· ἕψεται γὰρ ἡ τριττὺς τῇ πρεσβυτέρᾳ τῶν ἀδελφῶν, καὶ πάσας εὐθὺς [18]) ἕξεις συσκήνους καὶ συςρατιώτιδας ἐπὶ σοί.

8.

Λόγον ἐρῶ τοῦτον ἄτοπον [1]) ὡς εὐθὺς ἀκοῦσαι,
παντὸς [2]) δὲ δήπου τῆς ἀληθείας ἐχόμενον. Ὅταν ἀ- D
σθένειαν ἐγὼ [3]) πρὸς δύναμιν ἐξετάζω, καὶ πενίαν πρὸς
πλοῦτον, καὶ τὰς ἐν ἅπασι μειονεξίας πρὸς τὰς ἐν ἅπα-
σι πλεονεξίας, εἰ δίχα φρονήσεως καθαραὶ πρὸς ἀλλή-
λας κρίνοιντο, πενία τε καὶ ἀδυναμία καὶ βίος ἰδιώτης
ἀντὶ τῆς μεγίςης ἡγεμονίας εὐτυχέςεραι [4]) παρεῖναι τοῖς
ἥκιςα ἐπηβόλοις νοῦ καὶ φρονήσεως· ἐλάττω γὰρ ἄρα [5])
ἐξαμάρτοιεν, τῆς ἐν τῇ γνώμῃ κακίας οὐχ εὑρισκούσης
πρόοδον εἰς ἐνέργειαν. Τὰ γὰρ θυραῖα τῶν ἀγαθῶν [6]), 8 A

15. μιγνῦσα Par. A. Mon. AC. Marg. Mon. F. Vind. Turn. L. V.

16. βασιλείας Turn. L. V.

17. Abest μοι a Par. BD. Mon. BDE. Rehd. — ποίησαι (ον) (lineola τῷ αι supposita) Mon. F. ποίησον Par. C. Mon. AC. Barocc. Vind.

18. In m. Par. et Vat. est gl. ἀντὶ τῦ καταρχάς.

Cap. VIII. 1. Barocc. a. s. m. inter versus habet μὲν, ut post h. v. inserendum.

2. πάντως correxit *Hieron. Wolfius.*

3. ἐγὼ ἀσθένειαν Venet. 1. 2.

4. εὐτυχέςερα Mon. CD. - ἐπηβούλοις Ed. Venet. 1. ἐπιβόλοις a m. pr., a corr. m. ἐπηβόλοις Mon. A.

5. ἂν Mon. EG. ἂν (γρ. ἄρα) Mon. B. Sed legendum videtur aut ἐλάττω γὰρ ἄρα ἂν aut ἄρα ἐξαμάρτοιεν ἄν. Nam particulam ἂν post α saepius a librariis neglectam (vid. *Baehr.* Spec. Observatt. Plutarch. in Creuzeri Melet. P. III. p. 14.), nec raro a praecedente εν absorptam esse satis notum. Cf. *Synes.* Ep. 80. p. 228. C.

6. Superscr. gl. ὁ πλοῦτος, ἡ δύναμις in Par. C. Vat. ὁ πλοῦτος καὶ ἡ δόξα Barocc. in marg.

ἅπερ ὀργανικὰ καλεῖν ἔθος Ἀριςοτέλει [7]) καὶ Πλάτωνι, τοῖς ἐμοῖς ἡγεμόσιν, ὑπηρετεῖν οἶδε κακίαις οὐ μεῖον, ἢ ἀρεταῖς. Ταύτῃ καὶ τὼ ἄνδρε τούτω καὶ ὅσοι γε ἀπὸ τούτων ῥύακες φιλοσοφίας ἐῤῥύησαν, οὔτε τῆς ἀμείνονος αὐτὰ [8]) προσηγορίας ἠξίωσαν, οὔτε τῇ χείρονι κατεδίκασαν, ἀλλ᾽ ὀργανικὰ καλοῦσι, νῦν μὲν ἀγαθὰ, νῦν δὲ κακὰ, ταῖς τῶν χρωμένων ἕξεσιν αὐτὰ χρωματεύοντες. Ὥσπερ οὖν εὐχῆς ἄξιον ἀπεῖναι τοῦ φαύ- B
λου τὰ ὄργανα, ὅπως ἀνενέργητον ἔχῃ [9]) τὴν μοχθηρίαν, οὕτω παρεῖναι τῷ καλῶς χρησομένῳ, οὗ πάντες ἂν, καὶ πόλεις καὶ διῶται [10]), ὀνίναιντο, ἵνα μὴ ἀχρεία [11]) καὶ ἄπρακτος ἀρετῆς φύσις ἀγνοουμένη μαραίνηται, ἀλλ᾽ εἰς ἀνθρώπων εὐεργεσίας δαπανήσῃ τὴν δύναμιν. Οὕτω μοι χρῶ τοῖς προκειμένοις ἀγαθοῖς· καὶ γὰρ μόνως [12]) ἂν οὕτως ἀγαθοῖς χρήσαιο. Ἀπολαυόντων [13]) οἶκοι, καὶ πόλεις, καὶ δῆμοι, καὶ ἔθνη, καὶ ἤπειροι, προνοίρας βασιλικῆς καὶ κηδεμονίας [14]) ἔμφρονος, ἣν ὁ θεὸς αὐτὸς ἑαυτὸν ἐν τοῖς νοητοῖς ςήσας ἀρχέτυπον, δίδωσιν εἰκόνα τῆς προνοίας, καὶ ἐθέλει τὰ τῇδε τετάχθαι κατὰ μίμησιν ὑπερκόσμιον. Φίλος οὖν C
τοῦ μεγάλου [15]) βασιλέως ὁ δεῦρο ὁμώνυμος, ἂν μὴ ψεύδηται τοὔνομα· οὐ ψεύδεται [16]) δὲ, ἂν καὶ θάτερον [17]) παρῇ τῶν ὀνομάτων τοῦ θεοῦ. Ὃ πρὶν εἰπεῖν,

7. Eth. I. 8. §. 15. sqq. et 9. §. 7. — καὶ Πλάτωνι] Euthyd. p. 281. C. Menon. 87. D. Legg. 632. B.

8. αὐταὶ Vind.

9. ἔχει Mon. F.

b a
10. πόλεις καὶ ἰδιῶται (sic) Mon. F. πόλις Par. AD. Mon. D.

11. ἀχρεῖα Mon. AD. ἀχρεῖα a m. pr., a s. ἀχρεία Rehd. — φύσις ἀρετῆς Mon. F. φύσης Mon.
η
C. — μαραίνεται Mon. D.

12. μόνος Par. A.

13. ἀπολαβόντων Mon. BE. — οἶκοι — πόλεων — δήμων — ἐθνῶν — ἠπείρων Mon. E. οἶκοι
εις οι η
— πόλεων — δήμων — ἐθνῶν —
οι
ἠπείρων Mon. BG.

14. κηδαιμονίας Mon. D. c. Ed. Turn.
ι
μεγίςυ
15. μεγάλου Par. D.

16. οὐ ψεύδηται Mon. D.

17. τὸ ἀγαθὸν marg. Par. B.

οὐκ ἂν ἄκαιρον [18]) εἴη διαλεχθῆναί τι τῶν παρὰ φιλοσόφίας ἐνθάδε σαφήνειαν προοικονομούμενον.

9.

Οὐδὲν [1]) οὐδαμῇ πω πέφηνεν [2]) ὄνομα τῆς οὐσίας ἀπτόμενον τοῦ θεοῦ, ἀλλ' ἀτευκτοῦντες [3]) αὐτοῦ τῆς ἐμφάσεως ἄνθρωποι διὰ τῶν ἀπ' αὐτοῦ [4]) ψαύειν ἐθέλουσιν αὐτοῦ. Κἂν πατέρα, κἂν ποιητὴν [5]), κἂν ὁτιοῦν εἴπῃς [6]), κἂν ἀρχὴν, κἂν αἴτιον, ταῦτα πάντα D
σχέσεις εἰσὶν αὐτοῦ πρὸς τὰ παρ' αὐτοῦ. Καὶ βασιλέα τοίνυν εἰπὼν, ἀπὸ τῶν βασιλευομένων, ἀλλ' οὐκ αὐτοπροσώπως ἐπιχειρήσας τῆς φύσεως αὐτοῦ δράξασθαι. Νῦν οὖν ἐρῶν ἔρχομαι καὶ τὸ λοιπὸν τῶν ὀνομάτων, ὅπερ ὑποσχόμενος ὑμῖν, εἰς καιρὸν τοῦτον ἀνήρτησα. Καὶ τί τοῦτ' ἐστι [7]) τὸ συντεταγμένον καὶ συγγενόμενον [8]) τῷ δεῦρο βασιλεῖ, ὃ κυροῦν ἔφην αὐτὸν καὶ ἀπο- 9 A
φαίνειν [9]) τυγχάνοντα [10]), καὶ οὐ ψευδώνυμον; Ἀγαθόν

ον
18. οὐκ ἄκαιρ ἂν (a. s. m.) Mon. A. (primitus enim omissum fuerat ἂν); ἄκαιρον ἂν Vind.

Cap. IX. 1. Οὐδὲν ab ead. m. in marg. habet Mon. C. — οὐδαμῇ πω cum libris Pariss. Mon. ACF. Barocc. Vind. Ed. Petav, 1. 2. οὐδαμῆπω rell. et Edd. Turn. Venet. 1. 2.

2. πέφυκεν Mon. AC. ὄνο pro ὄνομα Mon. D.

3. Superscr. ἀποτυγχάνοντες in Par. C, Vat. Barocc.

ἀ
4. τῆς pro τῶν Mon. C. ἐπ' αὐτῦ Mon. F.

5. Ita Mon. D et e coniect. Petavius in marg. sec. ed. τὸν ποιητὴν rell. libri scripti et editi. Respexit Noster *Plat.* Timae. p. C. 28. Cf. *Minuc. Fel.* Octav. Cap. XVIII. 6.

6. εἴποις Mon. ACD. Vind. Mox σχέσις Par. D.

7. καίτοι pro καὶ τί Pariss. Monacc. Barocc. Rehd. τουτέστι Mon. F. τοῦτ' ἐστὶν Mon. BE. τοῦτό ἐστι Barocc.

γρ. συγγενόμενον
8. συγγενώμενον Par. D. — ὃ a m. pr. inter versus habet Rehd.

9. καὶ ἀποφαίνειν in marg. supplet Mon. C.

10. Ita Mon. A et marg. Mon. F. τυχάνοντα Vind. τυχόντα rell. c. vulgaribus libris. Dein ψευδώνυμον ὄντα Mon. BE. Sed ὄντα haud dubie ad τυγχάνοντα pertinet et ex marg. in textum irrepsit. Τυγχάνοντα enim h. l. pro ὄντα accipiendum est. De quo illius verbi usu vid.

που τὸν θεὸν ὑμνοῦσιν ἅπαντες ἁπανταχοῦ [11]) καὶ σοφοὶ δῆμοι καὶ ἄσοφοι· καὶ ταύτῃ συγχωροῦσιν ἀλλήλοις καὶ ὁμοφωνοῦσιν ἅπαντες οἱ τὰ ἄλλα διαστάντες περὶ τὰς ὑπολήψεις τοῦ θείου, καὶ τὴν ἀκήρατον αὐτοῦ καὶ ἀμερῆ φύσιν δόξαις ἑτερογνώμοσι μερισάμενοι [12]). Ἀλλά τοι καὶ τοῦτο τὸ ἀγαθὸν τὸ ἀναμφισβήτητον οὔπω μηνύει τοῦ θεοῦ τὴν ἐν τῷ εἶναι ἕδραν, ἠράνισται δὲ ἀπὸ τῶν ὑστέρων. Οὐ γὰρ ἀπόλυτον [13]) εἰς ἀκοὴν ἔρχεται τἀγαθόν, ἀλλ' ἐκείνοις ἀγαθὸν [14]), ὧν ἐστι πρακτικὸν καὶ οἷς ἐστιν ἀπολαυστικόν B [15])· τοῦτο γὰρ ἡ διάνοια [16]) βούλεται τοῦ ὀνόματος, ἑρμηνεύειν τὸν θεὸν αἴτιον ἀγαθῶν· ἱεραί τε ἐν τελεταῖς ἁγίαις εὐχαὶ πατέρων ἡμῶν [17]) ἐκβοῶσαι πρὸς τὸν ἐπὶ πᾶσι θεὸν [18]) οὐ τὴν δυναστείαν αὐτοῦ κυδαίνουσιν, ἀλλὰ τὴν κηδεμονίαν προσκυνοῦσιν. Ὅτε [19]) οὖν θεὸς δωρητικός ἐστιν ὧν προσήκει θεῷ, ζωῆς καὶ

Locella ad Xenoph. Ephes. p. 266. *Heindorf.* ad Plat. Gorg. p. 190. *Erfurdt.* ad Sophocl. Aiac. v. 9. coll. Nostro infr. p. 23. A. — δικαίως τυχόντα vel simile quid legendum esse suspicabatur Petavius Annot. ad Ed. 1. 2. ἀποφαίνειν τὸν ὄντα καὶ ὃ ψ. coni. Bevingius.

11. παντοχοῦ Rehd.

12. μερισάμενον Petav. 2. errore typoth.

13. ἀπόλυτον (ἁπλοῦν) Par. C. Vat. Barocc.

14. ἀγαθὸν in m. supplet Mon. C. Tum ἐστὶ — ἐστὶν Codd. et Edd.

15. ἀπολαυστικὸν iam in pr. edit. scripsi praeeunte Cod. Mon. D. Reliqui e. editis habent ἀπολαυστόν. Sed adiectiva in ικοσ et οσ exeuntia non raro inter se permutata esse monuit *Schaefer.* in Indic. Graecit. ad Gregor. Cor. p. 992.

16. ἡ διάνοια τοῦ ὀνόματος βούλεται Barocc. — ἐφερμηνεύειν (sic) Mon. F.

17. πάτερ ἡμῶν coni. *Camerarius*, probante *Petavio*. Vertit etiam *Cornarius*: *pater noster exclamantes*. Πατέρων in πατέρα mutavit *Hier. Wolfius*. Dein ἐκβοῶσι scribunt Par. B. Mon. BCEF et Rehd. ἐκβοῶσ (αι) correxit sec. m. in Mon. A. ἐκβοῶσι (αι) est in Par. D.

18. Add. gl. τὸν (a m. r.; a pr. τὸ) ἀγαθὸν Vat. τὸ ἀγαθὸν Barocc. in m., ὅτι ἀγαθὸν Par. C.

19. ὅ τε Mon. E. Vind. Petav. 2.

νοῦ καὶ εἰ δή τι [20]) τῶν ὑςέρων οὐκ ἀνάξιον ἥκειν παρὰ τοῦ πρώτου [21]), σοὶ δ' ἂν προςήκοι μὴ λιπεῖν τὴν τάξιν, καθ' ἣν [22]) ἐτάχθης, μηδὲ αἰσχύνειν τὰς ὁμωνυμίας, ἀλλ' ἐπιτίθεσθαι τῇ μιμήσει, ἐπικλύζειν μὲν ἀγαθοῖς C ἅπασι τὰς πόλεις, καταχεῖν δὲ εὐδαιμονίαν, ὅση δυνατὴ τῶν ἀρχομένων ἑκάςῳ. Οὕτω βασιλέα μέγαν ὀνομάζοντες ἐπαληθεύοιμεν [23]), τὴν τιμὴν οὐκ ἔθει διδόντες, οὐ θεραπεύοντες χρείαν, οὐκ ὀργὴν παραιτούμενοι, ἀλλ' αὐτῷ τῷ κρίνοντι τῆς ψυχῆς [24]) ἐπινεύοντες, ἀδόλῳ γνώμης ἑρμηνεῖ τῇ γλώττῃ χρώμενοι. Φέρε δή σοι γράψω λόγῳ τὸν βασιλέα, ὥςπερ ἄγαλμα ςήσας· σὺ δέ μοι [25]) τὸ ἄγαλμα τοῦτο κινούμενον ἐπιδείξεις [26]) καὶ ἔμπνουν γενόμενον. Οὐκοῦν συμπαραλήψομαι μὲν εἰς δημιουργίαν, εἰ τοῦτο δέοι, τῶν τοῖς D παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν ἐπὶ νοῦν [27]) ἐλθόντων· σὺ δὲ μηδὲν ἧττον αὐτὰ τῶν ἄλλων, ἀλλὰ μᾶλλον ἀγαπᾷν [28]) ὡς ἀδηρίτως [29]) προςήκοντα βασιλεῖ, περὶ ὧν ὁμοίως φρονοῦσι παλαιοί τε καὶ νέοι σοφοί.

10.

Εὐσέβεια δὲ πρῶτον ὑποβεβλήσθω κρηπὶς ἀσφαλής, ἐφ' ἧς ἑςήξει τὸ ἄγαλμα ἔμπεδον· καὶ οὐ μή πο-

20. δεῖ τι Mon. BE.

21. Superscr. gl. παρὰ τῦ θεῦ in Par. C et Vat. Dein σοὶ ἂν exhibent Par. B. Mon. BE. σοί τ' ἂν Par. D. Mon. ACF. Sed τ' sec. manui debetur in Mon. A. σοὶ δ' (τ') ἂν Barocc. et Vind. Vulgatam recte tuentur Mon. D. et Rehd.

22. Ita Mon. D et a s. m. Mon. A. Cf. p. 8. C. et 22. D. Reliqui e. Edd. καθὼς (Mon. F. καθ' ὧς), cuius loco καθ' ἧς coni. *Lobeckius* ad Phryn. p. 426.

23. ἐπαληθεύομεν Par. B. Mon. D. Rehd.

24. ταῖς ψυχαῖς Mon. F.

25. μοι accessit e Par. AC. Mon. ABCEF. Barocc. Rehd. Vind.

26. ἐπιδείξεις Par. B. ἐπιδείξαις (αι) Mon. C. ἐπιδείξοις Mon. A Vind.

27. εἰς νοῦν Par. C.

28. Ita Pariss. Monacc. Barocc. Rehd. Vind. Turn. L. V. et margg. Petav. 1. 2. probante *Wakefieldio* Silvv. critt. T. IV. p. 136. ἀγάπα Turn. et Petav. 1. 2., idemque superscriptum legitur in Par. C.

29. ἀδηρίτος (sic) Mon. F. Addunt gl. ἀναμφιβόλως Par. C. Vat. Barocc. Mon. C.

τε αὐτὸ περιτρέψῃ [1]) χειμὼν, τῆς κρηπῖδος ἐχόμενον.
Αὕτη μὲν δὴ καὶ συναναβήσεται καὶ πολλαχοῦ [2]) φα- 10 A
νεῖται, πρὸς τῇ κορυφῇ δὲ οὐχ ἥκιςα. Ἔνθεν [3]) ἑλὼν,
φημὶ δεῖν, ἡγουμένου θεοῦ [4]), τὸν βασιλέα πρῶτον
αὐτὸν [5]) αὑτοῦ βασιλέα εἶναι, καὶ μοναρχίαν ἐν τῇ
ψυχῇ καταςήσασθαι. Εὖ γὰρ ἴσθι τοῦτο, ὡς οὐχ
ἁπλοῦν τι χρῆμα [6]), οὐδὲ μονοειδὲς ἄνθρωπος, ἀλλὰ
συνῴκισεν ὁ θεὸς εἰς ἑνὸς ζώου σύςασιν ὄχλον [7]) δυ-
νάμεων παμμιγῆ τε καὶ πάμφωνον· καὶ ἴσμεν ὕδρας,
οἶμαι, θηρίον [8]) ἀτοπώτερον καὶ μᾶλλόν τι πολυκέφα-
λον. Οὐ γὰρ ταὐτῷ [9]) δήπου νοοῦμεν καὶ ὀρεγόμεθα
καὶ λυπούμεθα [10]), οὐδὲ ταὐτῷ καὶ θυμούμεθα, οὐδὲ B
ὅθεν ἡδόμεθα, καὶ φοβούμεθα· ἀλλ' ὁρᾷς ὡς ἔνι μὲν
ἄῤῥεν ἐν τούτοις, ἔνι [11]) δὲ θῆλυ, καὶ θαῤῥαλέον τε

Cap. X. 1. *Οὐ* om. Par. A. *μή ποτε* correctum est e *μήτε* in Barocc. — *περιτρέψει* coni. *Boissonadius* ad Philostrat. Heroicc. p. 373. Pro *κρηπῖδος* male scribunt *κρηπίδος* Mon. BDEF. Rehd. c. Turn. et Patusae editt., idque a m. pr. habebat Mon. A.

2. *πολλαχῇ* (sup. *οῦ*) Mon. F. *πολλαχῇ* Turn. L. V et Petav. 1. 2. in m.

3. *ἔνθεν* (sup. *ἐκ τούτῳ*) Par. C. In Vat. est gl. *ἐκ τούτων*. Cf. Odyss. VIII. 500.

4. *ἡγουμένη θεοῦ* Mon. D. — Verba *τὸν βασιλέα* delet Barocc.

5. *αὐτόν* om. Par. B. Dein *αὐτοῦ* Mon. BCE. Rehd.

6. *πρᾶγμα* Mon. A et (in m.) Mon. F.

7. *ὄχλων* Mon. F.

8. *θηρίου* Rehd. *θηρίων* Mon. E. Ad v. *ἀτοπώτερον* exhibent gl. *θαυμασιώτερον* Par. C. Vat. Barocc. Vid. *Plat.* de re publ. p. 588. C.

9. *ταυτῷ* Mon. ABCE. Par. C. *ταυτὰ* Par. D. Mon. DF. *ταῦτα* Rehd. In Mon. A et Vind. ante *ταὐτῷ* illata est gl. *ἑνὶ μέρει*, quam Par. C et Mon. C inter versus habent. Eadem legitur in Vat. Respexit *Plat.* de re publ. p. 439. D. sqq. 550. B. 553. C. 571. D. 580. D. 606. D. Cf. *Morgenstern.* de Plat. re publ. Comment. p. 100. sq. et *Creuzer.* ad Plat. p. 41. b.

10. *καὶ λυπούμεθα*] Desunt haec in Edd. Petavv. Mox iterum scribunt *ταυτῷ* Mon. ABCEF. Par. C. Rehd. *τ'αὐτῷ* habet Mon. D. *αὐτῷ* Par. Turn. L. V. et in m. Petav. 1. 2. Additur gl. *μέρει τῆς ψυχῆς* in Par. C et Vat.

11. *ἐνὶ* Mon. DF. Mox *ἐν τούτοις καὶ θηλῦ· ἔνι δὲ θαῤῥαλέον* Par. AD. Voc. *θηλῦ* delet Barocc. — *θαραλέον* (sup. *ρ*) Rehd. Proxime pro *ἔνι* iterum scribit *ἐνὶ* Mon. F.

*καὶ δειλόν· ἔνι δὲ τὰ παντοδαπῶς ἀντικείμενα· ἔνι δέ
τις ἡ μέση διὰ πάντων [12]) φύσις, ἣν νοῦν καλοῦμεν,
ὃν ἀξιῶ βασιλεύειν ἐν τῇ τοῦ βασιλέως ψυχῇ, τὴν
ὀχλοκρατίαν [13]) τε καὶ δημοκρατίαν τῶν παθῶν κατα-
λύσαντα. Ἀφ' Ἑςίας [14]) γὰρ ἂν οὗτος βασιλεύσειε [15])
τῇ κατὰ φύσιν ἀρχῇ τῆς ἡγεμονίας χρησάμενος. Ὡς
ὅςις γε τὰς ἀλόγους [16]) τῆς ψυχῆς μοίρας τιθασσοὺς [17])
καὶ χειροήθεις [18]) ποιήσας, κατηκόους τῷ λόγῳ παρέ-* C
*σχετο, εἰς μίαν ἡγεμονίαν ἔμφρονα συντάξας τὸ πλῆθος,
οὗτός ἐςιν ὁ θεῖος, καὶ ἰδιώτης καὶ βασιλεύς· μᾶλλον
δὲ βασιλεύς, ὅτι τὴν ἀρετὴν οὗτος ἔθνεσιν [19]) ὅλοις
κοινοῦται [20]), καὶ τῶν ἑνὸς ἀγαθῶν πολλοὶ ἐπαυρί-
σκονται ἄνθρωποι [21]). Τούτῳ γὰρ ἀνάγκη τὸ ἔνδοθεν
ἀςασίαςον διάγειν [22]), καὶ μέχρι προσώπου γαλήνην
ἔνθεον· καὶ ἔςιν οὐ φοβερὸν, ἀλλ' ὑπέρσεμνον θέαμα
ἐν αἰδοῦς ἀκύμονι διαθέσει [23]), φίλους μὲν, ταὐτὸν [24])
δὲ εἰπεῖν, ἀγαθοὺς ἐκπλήττων, τοὺς δὲ ἐχθρούς τε καὶ* D
*πονηροὺς καταπλήττων. Μετάνοια [25]) δὲ οὐκ ἐμβατεύει
τῇ τούτου ψυχῇ. Πράττει γὰρ, ὅ τι ἂν πράττῃ [26]),*

12. Ita pro *διὰ δὴ πάντων* Codd. omnes, excepto Paris. C, in quo est *πάντως*.

13. *ὀχλοκρατείαν* primo Mon. D.

οἰκείως
14. *ἀφ' ἑςείας* Barocc. *ἀφ' ἑςίας* Par. C. Vat.

15. *βασιλεύσειεν* Mon. BE. *βασιλεύσει* Patusa.

16. *ἀλόγυ* Mon. D. Qui sequitur articulus abest a Mon. AC et Vind.

17. *τιθασοὺς* Mon. BDEF et Rehd.

ὑπηκό-
18. *χειροήθους* Rehd. — *κα-*
ους
τηκόους Par. C. et Vat. — *παρέχετο* Mon. D.

19. *ὅλοις ἔθνεσι* Par. A.

20. Superscr. gl. *μεταδίσωσι* in
ἀπολαύουσι
Mon. C. — *ἐπαυρίσκονται* Par. C. Vat. Barocc.

21. Abest a Par. C. et Barocc.

ἤγουν φθάνειν
22. *διάγειν* Mon. C.

23. Respexit Noster *Plotin.* de pulchrit. p. 32. ed. Creuz.

24. *ταυτὸν* Mon. BCDEF et Rehd. Dein *ἐκπλῆττον* — *καταπλῆττον* Par. A. Eadem lectio superscripta est in Par. D. Cf. *Solon.* in Brunck. Analectt. T. I. p. 65. VI. 5—6.

25. Add. gl. *μεταμέλεια* Par. C. Vat. Barocc.

26. *πράττοι* Mon. AC et Vind.

δεδογμένα ἅπασι τοῖς μέρεσι [27]) τῆς ψυχῆς πράττων, τῷ πάντα πρὸς μίαν ἀρχὴν κεκοσμῆσθαι [28]), καὶ μὴ ἀπαξιῶσαι μέρη [29]) τε εἶναι, καὶ εἰς ἓν τὸ ὅλον συννεῦσαι. Ὅςτις δὲ διοικίζει τὴν προςβολὴν [30]) τῶν μερῶν τούτων, ἐνδοὺς αὐτοῖς εἰς ἐνέργειαν πολλοῖς εἶναι, καὶ ἀνὰ μέρος [31]) ἐθέλει ἀναπείθειν τὸ ζῶον, τοῦτον ὄψει νῦν μὲν ὑψοῦ τὴν γνώμην, νῦν [32]) δὲ ὕπτιον· τεταραγμένον νῦν μὲν ὁρμῇ, νῦν δὲ φυγῇ, καὶ λύπαις 11 A καὶ ἡδοναῖς καὶ ἀτόποις ὀρέξεσιν. Ὁμολογεῖ [33]) δὲ οὐδέποτε οὗτος αὐτὸς ἑαυτῷ.

Καὶ μανθάνω μὲν οἷα δρᾷν μέλλω [34]) κακά·
Θυμὸς [35]) δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,

ἔφη τις [36]), ἐπιγνοὺς τὴν ἑτερότητα καὶ διχόνοιαν τῶν ἴσων δυνάμεων.

11.

Τοῦτό τοι [1]) πρῶτον καὶ σφόδρα βασιλικόν, αὐτὸν ἑαυτοῦ βασιλεύειν, τὸν νοῦν ἐπιςήσαντα [2]) τῷ συνοίκῳ θηρίῳ, καὶ μὴ κρατεῖν ἀξιοῦντα πολλακιςμυρίων [3])

27. Ita Codd. Pariss. Monacc. ABCDE. Barocc. πᾶσι τ. μ. rell. c. Edd. Cf. *Plat.* Phaedr. p. 256. C.

28. κεκομῆσθαι Par. A κοσμεῖσθαι Turn. L. V. et Petav. 1. 2. in m.

29. μέρει Mon. D. — συνεῦσαι Mon. CDF. Vind. Patus.

30. τὴν προςβολὴν, superscr. verbis: ἤγουν τὴν πρόςκρουσιν·
δίδωσιν
ὁρμὴν, Mon. C. — ἐνδοὺς id.

31. Adiecta gl. ἐν τῷ μέρει margini libri Vat. — ἐθέλειν Mon. BE. Barocc. Vind. c. Ed. Turn.

32. Part. νῦν superscripta est in Rehd. Vocc. ὁρμῇ — φυγῇ in ras. habet Mon. A.

συμφωνεῖ
33. ὁμολογεῖ Par. C.

34. μέλλω δρᾷν *Gregor. Palam.* Prosopogr. p. 11.

35. Explicatur verbis: τὸ ἄλογον μέρος τῆς ψυχῆς in Par. C. Vat. — τῶν abest a Vind.

36. ὁ εὐριππίδης (sic) Mon. A. in m. Vid. Med. v. 1074. ed. Pors.; Elmsl. v. 1046.

Cap. XI. 1. τὸ Vind. Fort. τοῦτό τοι τὸ πρ.

2. ἐπιςήσοντα Mon. C. Cf. *Plat.* Phaed. p. 97. C. Phileb. p. 28. C. ibique *Stallbaum.* et p. 30. D.

3. πολλάκις μυρίων et Codd. et Edd.

ἀνθρώπων, ἔπειτα αὐτὸν δοῦλον εἶναι δεσποινῶν αἰσχίστων, ἡδονῆς καὶ λύπης καὶ ὅσοι σύγγονοι θῆρες B ἐνδιαιτῶνται τῷ ζώῳ. Ἐντεῦθεν δὲ ἤδη παρ' ἑαυτοῦ [4] προϊὼν ὁ βασιλεὺς πρώτοις ἐντεύξεται τοῖς πέλας τε καὶ φίλοις [5]), μεθ' ὧν συνεστώτων περὶ τῶν ὅλων βουλεύσεται. Τούτους προσερεῖ φίλους, οὐ κατειρωνευόμενος τοῦ ὀνόματος, οὐδὲ ὥσπερ οἱ κολάζοντες [6]) τὸ τραχὺ καὶ πρόσαντες τῆς δεσποτείας, ἔργῳ φιλανθρωποτέρῳ τῆς ἀληθείας ὀνόματι [7]). Τί γὰρ κτῆμα βασιλικὸν οὕτως, ὥσπερ ὁ συνὼν [8]) φίλος; τίς εὐτυχίας κοινωνὸς ἡδίων; τίς δὲ διενεγκεῖν χείρω τύχης ῥοπὴν ἀσφαλέστερος; τίς C ἀδολώτερος εἰς ἔπαινον; τίς εἰς πλήττουσαν [9]) νουθεσίαν ἀλυπότερος; εὐγνώμονος δὲ βασιλέως ποῖον ἐπιδηλότερον τῷ πλήθει τεκμήριον, ἢ εἰ φαίνοιτο ζηλωτοὺς ποιῶν ἀεὶ τοὺς συνόντας; Οὕτω γὰρ καὶ τοῖς πόῤῥωθεν ἐραστὸς ἂν εἴη [10]), καὶ γένοιτο ἂν ἀγαθοῖς εὐχῇ τεύξασθαι φιλίας βασιλικῆς· ὧν τἀναντία τοῖς τυράννοις ὑπάρχει,

4. *παρ' ἑαυτῷ* Par. B. Mon. BCDE. Turn. L. V.

5. *καὶ τοῖς φίλοις* Venet. 1. 2.

6. *τωθάζοντες* coni. *Bevingius*. Praestat *κολακεύοντες*, quod legendum proposuit *Alb. Iahnius* Symboll. Philostrat. p. 97. — *τὸ βραχὺ* Mon. D. *Τραχὺ* explicatur voce *σκληρὸν* in Par. C. Vat.

7. Ita Codd. omnes. c. Edd. Turn. Petav. 1. 2. et Venet. 1. 2. Ante *ἔργῳ* commate distinguunt Codd. Mon. ACD. Rehd. Edd. Turn. Petav. 1. Venet. 1. 2.; om. incisum Codd. Mon. BEF. c. Ed. Petav. 2. *H. Wolfius* correxit *ἔργων*. Equidem in pr. Ed. non e Cod. quodam Ms., ut falso opinatur *Bevingius*, sed e coniectura scripsi *ἔργον* (et ita a corr. m. habet Par. D), distinctionis notula non ante, sed post h. v. posita. *Bevingius* comma, quod (sc. in Ed. Petav. 1., qua usus est) ante *ἔργῳ* habetur, post h. v. reponit. — *ὀνόματι*, superscr. *ἤτοι χρώμενοι*, Mon. C.

8. *ὁ τυχὼν* (in m. *ὁ συνὼν*) Mon. F. *Τυχὼν* notatur etiam in Turn. L. V. Dein *δυστυχίας* pro *εὐτυχίας* Mon. D. Vid. *Xenoph.* Cyrop. VIII. 7, 13. et *Dio* Chrysost. Or. I. p. 54. Or. III. p. 129. sq. et Or. XLI. p. 184. sq. Mox *συνενεγκεῖν* coni. *Geelius* ad Dion. Chrys. p. 379.

9. *ἐπιπλήττουσαν* corrigi vult *Geelius* ibid. p. 380.

10. *ἂν ᾖ* Codd. omnes. Seq. *καὶ* inter lin. habet Mon. E. — *γίνοιτ'* Mon. AC. *γίνοιτο* Mon. D. Mox *τεύξεσθαι* Mon. AC. Vind. Sed mutatione non opus. Vid. *Usterius* ad Plutarch. Consolat. ad

δι' οὓς ἡ κομψὴ [11]) παροιμία, πόῤῥω Διός τε καὶ κεραυνοῦ, διὰ τοὺς ἐπιβούλως τοῖς συνοῦσι χρωμένους, ἀδεέστερον εἶναι λέγουσα τὴν μετ' ἀπραγμοσύνης ἀσφάλειαν τῶν ἐν ἐπιφανεῖ βίῳ κινδύνων. Οὐ γὰρ ἔφθασέ D τις μακαρισθῆναι τῆς τοῦ τυράννου φιλίας καὶ ἠλεήθη τῆς ἔχθρας· ἀλλ' ὅγε βασιλεὺς οἶδεν ὡς τὸ μὲν αὔταρκες ἐν θεῷ καὶ ἀρχαία θεὸς οὐσία τῶν ἀρχομένων ὑπερκείμενος· ἀνθρώπῳ δὲ ἀνθρώπων ἄρχοντι πολλῶν καὶ ὁμοίων οὐκ αὐτάρκης ἡ φύσις εἰς ἅπαντος ἔργου περινόησιν. Ἰώμενος οὖν [12]) τὴν τῆς φύσεως ἔνδειαν, συνουσιοῦται τοῖς φίλοις, τὴν δύναμιν ἑαυτῷ [13]) πολυπλασιάζων. Οὕτω γὰρ τοῖς ἁπάντων μὲν ὀφθαλμοῖς ὄψεται [14]), ταῖς ἁπάντων δὲ ἀκοαῖς ἀκούσεται καὶ ταῖς 12 A ἁπάντων γνώμαις εἰς ἓν ἰούσαις βουλεύσεται [15]).

12.

Παραφυλακτέον μέντοι [1]) καὶ μάλα ὅλῃ τῇ γνώμῃ, καὶ, εἴγε δυνάμεθα, ἅπασι τοῖς ἐν ταῖς αὐλαῖς ὅπλοις ἐπὶ τούτῳ χρῆσθαι, μὴ λάθῃ παρεισδῦσα κολακεία [2]), τὸ φιλίας πρόσωπον περικειμένη. Ὑπὸ μόνης γέ τοι [3]) ταύτης, καὶ ἀγρυπνούντων τῶν δορυφόρων, λῃστεύεται βασιλεία· εἰσφέρεται [4]) γάρ, ἢν μὴ καὶ πάνυ ἐρύκηται

Apollon. p. 56. *Foertsch.* Observatt. in Lys. Oratt. p. 56. sq.

11. κομψὴ (σοφὴ) Par. C. Vat. Vid. *Suid.* v. *Πόῤῥω.* Dein αὐτοῖς συνοῦσι Vind. et in m. Mon. F. — λέγουσα (ἡ παροιμία) Mon. C. Paullo post κινδυνευόντων pro κινδύνων Suidae Codd. et Edd. — μακαρισθήσεται *Mich. Apostol.* Proverb. XVI. 51. — τῆς (superscr. ἕνεκεν) — φιλ. Mon. C. Artic. ante τυράννου om. Par. C. Mon. BE. Barocc. Vind.

12. οὖν abest a Mon. D.

13. Ita Par. ACD. Mon. BDE. ἑαυτοῦ Codd. rell. c. Edd.

14. Cf. *Xenoph.* Cyrop. VIII. 2, 10. sqq.

15. βουλεύεται primo Rehd.

Cap. XII. 1. μὲν οὖν Barocc. Dein καὶ μάλιστα Mon. AC. Vind. Turn. L. V.

2. Ita Par. AC. Monacc. omnes, Barocc. Rehd. κολακία vulg.

3. τοι om Par. D.

4. εἰσφθείρεται coni. *Wakefieldius* Silvv. critt. T. IV. p. 222. Mox ἐνδοτέρῳ Mon. BE.

μάλα ἐνδοτέρω τῶν ταμιείων, καὶ ἐπιχειρεῖ τῷ κυριωτάτῳ τῶν βασιλείων, αὐτῇ τῇ ψυχῇ. Ἐπεὶ τόγε φιλέταιρον [5]) οὐχ ἥκιϛα ἀρετὴ βασιλέως. Τοῦτό γέ τοι καὶ B Κῦρον [6]) τὸν πάνυ καὶ Ἀγησίλαον ὀνομαϛοτάτους βασιλέων ἐν Ἕλλησι καὶ βαρβάροις ἐποίησε. Γνώσεται μὲν δὴ τὰ ποιητέα, καὶ γνώμην ἐν τοῖς φίλοις κυρώσει· ἵνα δὲ ἔργα γένηται, χειρῶν αὐτῷ δεῖ πολλῶν.

13.

Ὁ δὲ λόγος βαδίζων ἐξάγει τὸν βασιλέα τῶν βασιλείων, καὶ μετὰ τοὺς φίλους τοῖς ϛρατιώταις δίδωσι, δευτέροις δὴ τούτοις φίλοις, καὶ καταβιβάσας εἰς τὸ πεδίον, ἐξεταϛὴν ἀνδρῶν καὶ ἵππων καὶ ὅπλων [1]) ποιεῖ, ἔνθα καὶ ἱππεῖ συνιππεύσει, καὶ πεζῷ συνθευσεῖται [2]), C καὶ συνοπλιτεύσει τῷ ὁπλίτῃ, καὶ τῷ πελταϛῇ συμπελτασθήσεται, καὶ συνακοντιεῖ τῷ γυμνῆτι [3]), τῇ κοινωνίᾳ τῶν ἔργων εἰς ἔμψυχον ἑταιρίαν ἕκαϛον προςαγόμενος, ἵνα μηδὲ πρὸς τούτους εἴρων ᾖ, συϛρατιώτας καλῶν, ἀλλὰ δημηγοροῦντα ἐπιγινώσκωσιν αὐτόν, καὶ μαρτυρῶσιν ὡς ἐκ τῶν ἔργων ἄρα τὸ ὄνομα λέγεται. Δυςχεραίνεις ἴσως, ὅτι σοὶ πονεῖν ἐπιτάττομεν· ἀλλ', ἐμοὶ σὺ πείθου, βασιλικοῦ σώματος ἐλάχιϛα πόνος

5. *φιλεταῖρον* Mon. ACF. Barocc. *φυλεταῖρον* Mon. D. *φιλαίτερον* Par. A. — *οὐχ ἥκιϛα*, superscr. *μάλιϛα*, Mon. C.

6. *κύρον* Mon. F. et Rehd. Dein *πάνυ*, superscr. *πάλαι* Mon. BG. Mox *ἐποίησεν* Mon BE.

Cap. XIII. 1. Ita Codd. omnes, excepto Rehd., qui cum Edd. inverse legit *καὶ ὅπλων καὶ ἵππων*. Tum *ποιεῖ*, superscr. *ὁ λόγος φησὶ*, Mon. C.

2. Recepi hanc lectionem pro vulg. *συνθεύσεται* e Par. BCD. Monacc. Rehd. *συνθασεῖται* (ᾱ per ras. posito) Vind. Gl. *συνδράμει* (l. *συνδραμεῖται*) superscripta est in Mon. C.

3. Ita Par. ABC. Mon. D. Barocc. Rehd. *γρμνήτῃ* (sic) Mon. BG. *γυμνήτῃ* Mon. E. *γυμνίτῃ* Codd. rell. c. Edd. Cf. *Schneider.* et *Bornemann.* ad Xenoph. Anab. IV. 1, 6. — *ἑταιρίαν* pro *ἑταιρείαν* praebuerunt Par. ABC. (e corr. Par. D.) et Mon. ABCDE. Vid. *Lobeck.* ad Sophocl. Aiac. v. 682. Mox *πρὸς τούτοις* Par. B. Mon.

ἅπτεται [4]). Ὅστις γὰρ οὐ λανθάνει πονῶν, τοῦτον ἥκιστα πόνος νικᾷ. Βασιλέως δὲ σωμασκοῦντος καὶ θυραυλοῦντος D καὶ ὅπλοις ἐννεάζοντος οἱ πανταχοῦ δῆμοι θέατρόν εἰσι [5]). Τῶν τε [6]) γὰρ παρόντων ἐπιστρέφει τὰ ὄμματα, καὶ οὐδεὶς ἀλλαχόσε βλέπειν ἀνέχεται, βασιλέως ἐν ἀπόπτῳ τι δρῶντος· καὶ τῶν ἀπόντων ἐνηχεῖ τὰ ὦτα πᾶν ἔργον βασιλέως ᾠδὴ γενόμενον. Δύναται δὲ ὁ συνεθισμὸς οὗτος, τὸ [7]) μὴ σπάνιον εἶναι τὸν βασιλέα θέαμα στρατιώταις, εὔνοιάν τε αὐτοῦ καὶ μάλα ἐρρωμένην δημιουργεῖν τῶν στρατιωτῶν ταῖς ψυχαῖς· Καὶ τίς ἐχυρωτέρα [8]) βασιλεία τῆς ἔρωτι τετειχισμένης; 13 A τίς δὲ ἰδιώτης καὶ μικρὰ πράττων ἀδεέστερός τε [9]) καὶ ἀνεπιβουλευτότερος ἐκείνου βασιλέως, οὐχ ὃν δεδίασιν, ἀλλ' ὑπὲρ οὗ δεδίασιν οἱ ὑπήκοοι; Τὸ δή [10]) τοι στρατιωτικὸν τοῦτο φῦλον ἁπλοϊκόν τέ ἐστι καὶ γενναῖον καὶ ὑπὸ συνηθείας ἁλώσιμον· καὶ Πλάτων [11]) φυλακάς τε καλεῖ

BE. Paullo post ἐπιγινώσκουσιν Mon. B. Vind.

4. Vid. *Xenoph.* Cyrop. I. 6, 25.

5. εἰσὶν Mon. BE. Deletum ν in Mon. C.

6. Abest τε a Mon. D. Mox ἀνέχειται (sic) Mon. F. Ad v. ἐν ἀπόπτῳ est gl. εἰς τὸ φανερὸν in Par. C et Vat. In seqq. ἀπόντων restitui ex Mon. A. ἀπόνων (α' ὁ) dat Mon. C. ἀπάντων Mon. F. ἀπάντων est in vulgg. Edd. et Codd. rell. Veram tamen lectionem coniectura iam assequuti erant *Camerarius, Ilovius, Cornarius;* solus *Petavius* vulgatam vertendo expressit. — ᾠδῇ] Superscr. γρ. ὠδὶ (sic) in Mon. B.

7. Ita scripsi pro vulg. τῷ c. Pariss. ABCD. Mon. ACDF. Barocc. Rehd. Verbis θέαμα στρατιώταις additur μαχιμωτικὸν (fort. μαχιμώτατον) in Mon. BG., μαχιματικὸν in Mon. E. Mox δημιουργεῖν ἐρρωμένην Par. A.

8. ἐχυροτέρα Codd. Par. B et Mon. F. c. Edd. Turn. Petav. 1. 2. ὀχυροτ. Par. C; ὀχυροτ Turn. L. V. ὀχυρωτ. Barocc. ἰσχυροτέρα Par. A. Deinceps βασιλείας Codd. omnes. βασιλία Ed. Petav. 2.

9. τε om. Mon. AC. Vind. Paullo post οὐχ ὃν δεδιάασιν Mon. D. De hac sententia vid. *Themist.* Or. I. p. 10. C. et Or. II. p. 36. A. coll. *Wyttenbach.* ad Plutarch. Opp. morall. T. II. p. 237. ed. Lips.

10. δὲ primo Rehd.

11. De re publ. p. 361. B. et Timae. p. 17. D. Tum margo Parisini A μαχηματικόν. Deinceps τοῦτο γένος Mon. BE. Particula τε ante φίλιον (ita Barocc. a corr. m.), quod pro φίλον recepi

τὸ μαχητικὸν γένος, καὶ κυνὶ μάλιςα προςεικάζει, θηρίῳ γνώσει καὶ ἀγνοίᾳ κρίνοντι τό τε φίλιον καὶ τὸ πολέμιον. Τί δ' ἂν αἴσχιον γένοιτο βασιλέως, ὃν διὰ τοὺς ζωγράφους [12]) ἐπιγινώσκουσιν οἱ προπολεμοῦντες [13]);

14.

Ὀνήσεται δὲ οὐ μόνον τοῦτο τῆς πυκνῆς [1]) ἐπιμιξίας, τὸ καθάπερ ἓν σῶμα συμφυὲς τὸ ςράτευμα περικεῖσθαι, ἀλλὰ καὶ πολλὰ τῶν ἐν τοῖς τοιοῖςδε [2]) καιροῖς γινομένων [3]) τὰ μέν [4]) ἐςι μελέτη πολεμικῶν ἔργων, τὰ δέ [5]) ἐςι ςρατηγίας προτέλεια [6]) καὶ παρασκευαί τινες, ἃ πρὸς τὰ μείζω τε καὶ σπουδαῖα διεγείρει. Οὐ γάρ τοι [7]) σμικρὸν ἐν χρείᾳ δορὸς ὀνομάσαι μὲν ςρατηγὸν, ὀνομάσαι δὲ ὑποςράτηγον καὶ ἰλάρχην [8]) καὶ ταγματάρχην καὶ σημαιοφόρον [9]), εἰ τύχοι, καί τινας τοῦ πρεσβυτικοῦ σὺν ἐπιγνώσει [10]) καλέσαι τε καὶ προ- B

ex Par. AB. Mon. ABCE. Rehd. et Vind., abest a Mon. A et Vind., itemque articulus ante πολέμιον a Mon. AC, nec non a Vind.

12. Ita Par. BD. Mon D. Rehd. c. Edd. διὰ τοὺς ζωγράφους (superscr. ῶν, ων) Mon. BEG. διὰ τῶν ζωγράφων Par. AC. Mon. ACF. Barocc. Vind.

13. Superscr. οἱ ςρατιῶται in Mon. C.

Cap. XIV. 1. κοινῆς (superscr. πυκνῆς) Par. D. Mox καθάπερ ἓν in καθαπερεὶ mutat *Wakefield*. Silvv. critt. T. IV. p. 223.

2. Ita soli Mon. F. et Vind. Desiderantur scilicet voculae τῶν ἐν in Par. AB. Mon. BE. Praepositio intercidit in 4 Pariss., Barocc. Mon. CD et Rehd., item in Turn. et Petav. 1. 2. Abest etiam τοῖς a Par. A., ut a Petav. 1. 2., et pro τοιοῖςδε in utraque Ed. Petav. legitur τοῖςδε.

3. γινομένων (γινωμένων Mon. E) pro γενομ. receptum e 4 Pariss. Mon. ABCDG. Barocc. Rehd.

4. τὸ μὲν Mon. D. Mox ἔργων om. Par. D.

5. ταδὲ Mon. D. Tum ἐπὶ pro ἐςι Mon. A. c. Vind. ἐςι (superscr. ἐπὶ) Mon. F.

6. προτέλειαι Codd. omnes praeter Barocc., ex quo nihil enotatum est varietatis.

7. τὸ (pro τοι) σμικρὸν Mon. D. μικρὸν Mon. C.

8. εἰλάρχην Par. B.

9. σημαιοφόρον (superscr. εια) Par. C. Vind. σημαιαφόρον Mon. BE. σημειαφόρον Par. A. σημειοφόρον primo Mon. A. Postea prius ο mutatum in α. Cf. *Lobeck*. ad Phrynich. p. 645.

10. συνεπιγνώσει Mon. BE. σὺν ἐπιγνώση Petav. 2.

τρέψαι, τοὺς ἐν τέλει [11]) λέγω καθ' ἕκαστον ἱππικόν τε καὶ πεζικὸν σύστημα. Ὅμηρος [12]) μὲν γάρ τινα [τῶν] θεῶν παραστήσας τῇ μάχῃ τῶν Ἀχαιῶν, πληγῇ σκήπτρου φησὶν αὐτὸν πιμπλάναι τοὺς νέους μένεος κρατεροῖο, ὡς τήν τε ψυχὴν C

Μᾶλλον ἐφωρμῆσθαι [13]) πολεμίζειν, ἠδὲ μάχεσθαι,

καὶ μηδὲ τὼ πόδε, μηδὲ τὼ χεῖρε ἀτρέμας ἔχειν ἀνέχεσθαι· τὸ γὰρ

Μαιμώωσι [14]) δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν,

ἄττουσίν [15]) ἐστιν αὐτοκέλευστοι περὶ τὰ ἔργα τῆς μάχης. D Ἐμοὶ δὲ ταὐτὸ [16]) τοῦτο ἂν ποιῆσαι καὶ βασιλεὺς ὀνομαστὶ καλέσας, καὶ τὸν ἀπερισάλπιστόν τε ἂν εἰς [17]) φιλοτιμίαν ἐγεῖραι [18]) καὶ τὸν ἀγωνιστὴν ἂν ἐπιθῆξαι [19]). Πᾶς γὰρ ἐθέλει πονεῖν ὑπὸ μάρτυρι τῷ

11. Superscr. ἤγουν ἐν τῇ ἀρχῇ in Mon. C. Proxime Mon. AC. et Vind. πεζὸν ad normam *Thomae* Mag. p. 309, 3. ed. Ritschel. Sed vid. *Sturz*. Lexic. Xenoph. T. III. p. 482. sq.

12. Iliad. XIII. 43. Articulum post τινα omissum a Par. ACD. et Mon. ABCDE. secludendum censui. Cf. Dion. p. 54. A. Calv. Enc. p. 63. C. et *Schaefer*. Meletem. critt. p. 4. Mox πίπλαναι Par. A. Verba ὡς τήν τε ψυχὴν desiderantur in Petav. 1.

13. Ita 4 Pariss. Mon. ABC DE. Rehd. Vind. ἐφορμῆσθαι Barocc. et Mon. F. ἐφορμᾶσθαι vulg. Vid. Iliad. XIII. 74. Verba καὶ μηδὲ — — ἀνέχεσθαι desunt in Mon. D.

14. μεμόωσι Par. BC. Barocc. Rehd. Vind. Mon. F. μαιμόωσι Mon. AC. Dein ἔνερθεν χεῖρες καὶ πόδες ὕπερθεν Mon. A. Vid. Iliad. XIII. 75.

ἤγουν ὁρμῶσιν

15. αἴττουσιν Vind. ἄττουσιν Mon. C. Gl. ὁρμῶσιν habent etiam Par. C. et Vat.

16. αὐτὸ Barocc. ταυτὸ Mon. ACF. Rehd. τ' αὐτὸ Mon. BE. Tum ποιῆσαι ἂν Par. A. ποιῆσαι Mon. ABDEF. Barocc. et primo Rehd. ποιήρασ, ῃ ex ῇ enato, Mon. C. Quod subsequitur καὶ om. Barocc.

17. Abest praepositio ab Ed. Patus.

18. ἐγεῖραι Mon. AC. Turn. L. V. ἐγείρας primo Mon. C. Ita et Rehd., in quo postea correctum est ἐγείραι. ἐγείρας Par. AB. (superscr. αι) Mon. DE. ἐγείρας Mon. BG. (superscr. αι) Par. D. ἐγείρας Mon. F. Dein ἀνταγωνιστὴν Par. B.

19. ἐπιθῆξαι cum Barocc. et Rehd. Monacc. omnes. ἐπιθῖξαι (ῖ ex ῆ enato) Mon. C.

βασιλεῖ [20]). Ὅ τοι [21]) ποιητὴς οὕτως ἔοικε κρίνειν, πάμμεγα ὄφελος εἶναι βασιλεῖ καὶ εἰρηνικῷ καὶ πολεμικῷ· ὃς αὐτό που τοῦτο πρῶτον κατανοήσας, ὅτι πλείϛην ἔχει ῥοπὴν εἰς εὐψυχίαν ἀνδρῶν [22]) τὸ μηδὲ τοὺς ἀγελαίους ἀγνοεῖσθαι τῷ βασιλεῖ, οὐκ ὀνόματι μόνον καλοῦντα τοὺς ϛρατιώτας πεποίηκεν Ἀγαμέμνονα [23]), ἀλλ' οὗτος αὐτῷ τὸν ἀδελφὸν νουθετεῖ πρὸς τῇ 14 A
προϛηγορίᾳ πατρόθεν καὶ ἐκ γενεῆς ἄνωθεν ὀνομάζειν ἄνδρα ἕκαϛον, καὶ πάντας κυδαίνειν, μηδὲ μεγαλίζεσθαι. Καὶ τὸ κυδαίνειν [24]) δὲ αὖ εὖ λέγειν ἐϛὶν, εἴ τῷ τι ἀγαθὸν ἢ πραχθὲν ἢ εὐτυχηθὲν συνηπίϛατο. Ὁρᾷς Ὅμηρον [25]); ἐγκωμιαϛὴν ποιεῖ τὸν βασιλέα δημότου. Καὶ τίς οὐκ ἂν αἵματος ἀφειδήσειε, βασιλέως αὐτὸν ἐπαινέσαντος; Καὶ τοῦτο οὖν ἥξει σοι τἀγαθὸν ἀπὸ τοῦ θαμὰ ὁμιλεῖν ϛρατιώταις, καὶ προϛειδήσεις [26]) αὐτῶν καὶ

20. ὑπὸ μάρτυρι βασιλεῖ. vulg. ὑπὸ μ. δὲ β. Par. A. Mon. BE. Igitur de coniectura scripsi ὑπὸ μ. τῷ β. Cf. Noster Epist. 58. p. 202. C. *Iulian.* Imp. Epist. 76. p. 383. et Orat. V. p. 170. AB. *Gregor. Naz.* Orat. IV. p. 130. D. *Gregor. Nyss.* T. I. p. 760. A. *Heliodor.* IV. 19. *Achill. Tat.* V. p. 115.

21. Ita Pariss. et Mon. omnes c. Rehd. τι Barocc. τε vulg.

22. δρῶν (sic) Par. A. Mox pro ὀνόματι *Bevingius* coni. ὀνομαςί. Vid. Iliad. IV. 231. seqq.

23. ἀγαμέμνονι Mon. D. Proxime αὐτῷ νουθετεῖ καὶ τὸν ἀδελφὸν Mon. ACF. Vind. Post πατρόθεν om. καὶ Par. C. Vid. Iliad. X. 67. sqq. Ἄνωθεν, quod a Mon. C abest. Mon. A a s. m. inter lin. habet. Idem vocabulum mutilatum in ἄνω in Mon. D.

ἐπαινεῖν
24. κυδαίνειν Mon. C. Part. αὖ om. Mon. A et Vind.

25. δρᾷς, in m. ὁρᾷς Mon. E. Ὁρᾷς; Ὅμηρον ἐγκωμιαςὴν κτλ. Petav. 2. Unde *Luc. Holstenius* in marg. sui exemplaris 2. Editionis Petav., quod nunc asservatur in Bibliotheca Barberina, Ὅμηρον mutavit in Ὅμηρος. At lectionem a me receptam cum Ed. Petav. 1. tuentur Codd. 4 Pariss. Mon. ACF. et Rehd. Pro interrogandi signo Barocc. et Mon. DEG, ut pr. Ed., ponunt comma; Mon. autem B puncto distinguit.

γνώσῃ
26. πρὸς, εἰδήσεις Mon. A. Par. C. Vind. πρὸς, εἰδήσεις Par. D. Barocc. Mon. D. πρὸς εἰδήσεις (deleto diastoles signo) Mon. F. προς εἰδήσεις primo Rehd.; postea vero deletus est spiritus. προϛειδήσεις a corr. m. habet

ἤθη καὶ βίους, καὶ τὶς ἑκάστῳ τάξις ἐν καιροῖς ἑκάστοις προσ- B ήκουσα. Θέα [27]) γὰρ δὴ καὶ τόδε. Τεχνίτης ἐστὶν ὁ βασιλεὺς πολέμων, ὥσπερ ὁ [28]) σκυτοτόμος ὑποδημάτων. Ἐκεῖνός τε οὖν γελοῖος, ὅταν ἀγνοῇ τῆς τέχνης τὰ ὄργανα, ὅ τε βασιλεὺς πῶς ἐπιστήσεται [29]) χρῆσθαι στρατιώταις ὀργάνοις, ἂν μὴ γινώσκῃ;

15.

Ἀλλ' ἐνταῦθα γενόμενος, εἰ τὸ κοινὸν τῶν λόγων εἰς [1]) τὴν παροῦσαν τῶν λόγων [2]) ὕλην καταβιβάσαιμι, τάχα ἂν [3]) οὐκ ἄπο σκοποῦ βάλοιμι·

Τίς [4]) δ' οἶδ' εἴ κέν τοι [5]) σὺν δαίμονι θυμὸν ὀρίνω C
Παρειπών; ἀγαθὴ δὲ παραίφασις [6]) ἀνδρὸς ἀληθοῦς.

Φημὶ γὰρ οὐδὲν οὕτως ἔμπροσθεν ἄλλο χείρω ποιῆ-

Par. B. προειδήσεις, superscr. γρ. προσειδήσεις, Mon. C. *Καὶ* ante ἤθη inserui ex Mon. ACDF, e Par. C., in quo superscriptum legitur, et e Barocc.

27. Ita Codd. et Edd., improbante *Thoma* Mag. p. 177, 3., qui laudat formam θεῶ, quam cum *Nicephoro Greg.* ad Nostrum de Insomn. p. 391. B. praeferendam censet etiam V. D. *Boissonadius* ad Philostr. Her. p. 421, in *F. A. Wolfii* Analectt. litterar. Fasc. III. p. 91. itemque ad Theophylact. pag. 181. Sed tu vid. *Abresch.* ad Thom. M. p. 445 ed. Bernard., *Segaar.* ad Clem. Alex. Quis dives salutem consequi possit, p. 322., *Roulez.* Observatt. critt. in Themist. Oratt. p. 21. coll. Nostro in Calv. Enc. p. 70. A. de Insomn. p. 140. B. *Themist.* Or. III. p. 44. B. et Or. XI. p. 146. D, *Iulian.* Fragm. p. 300. A. *Io. Chrysost.* de Sacerdot. VI. 9. §. 567. ed. Bengel.

28. Abest articulus a Par. BCD. Monacc. Barocc. Rehd. Vid. *Aristot.* Eth. I. 10. p. 64. ed. Zell.

29. ἐπιστήσεται] Superscr. γνώσεται in Par. C. et Vat. Ceterum vid. *Xenoph.* Cyrop. V. 3, 47. Ἂν pro ἃ receptum e Mon. CD. Ita primo habebat etiam Mon. A. Pro γινώσκοι dedi γινώσκῃ ex Mon. A. et Vind.

Cap. XV. 1. εἰς τὸ κοινὸν τ. λ. εἰ Par. A.

2. τῶν λόγων a. s. m. habet Mon. A, om. autem Mon. C.

3. τάχ' ἂν Barocc. Dein ἄπο σκοποῦ rescripsi ex Pariss. Mon. ABCEF. Barocc. Rehd. pro vulg. ἀπὸ σκ. — βάλλοιμι Par. C.

4. τοῖς Mon. B. Tum οἶδε Patus.

5. κέν τοι corr. e μέντοι in Mon. σὺν θεῷ διεγείρω F. Dein σὺν δαίμονι — ὀρίνω Mon. C.

6. παρέμφασις (εμ, ἀποδεῖξις ut videtur,

σαι τὰ Ῥωμαίων, ὡς τὴν περὶ τὸ βασιλικὸν σῶμα σκηνὴν [7]) καὶ θεραπείαν, ἣν ὥσπερ ἱερουργοῦντες ὑμῖν ἐν ἀπορρήτῳ ποιοῦνται, καὶ τὸ βαρβαρικῶς ἐκτεθεῖσθαι τὰ καθ' ὑμᾶς [8]). Ὡς οὐ φιλεῖ συγγίνεσθαι φαντασία τε καὶ ἀλήθεια. Ἀλλὰ σύγε μὴ δυσχεράνῃς [9]), ὡς D τοῦτό γε οὐκ ἔστι σόν [10]), ἀλλὰ τῶν ἀρξάντων τῆς νόσου καὶ παραδόντων τῇ διαδοχῇ τοῦ χρόνου ζηλούμενον τὸ κακόν. Τοιγαροῦν ἡ σεμνότης αὕτη καὶ τὸ δεδιέναι, μὴ ἐξανθρωπισθείητε [11]) συνηθὲς γενόμενοι θέαμα, κατακλείστους ποιεῖ, πολιορκουμένους ὑφ' ἑαυτῶν [12]), ἐλάχιστα μὲν ὁρῶντας, ἐλάχιστα δὲ ἀκούοντας, ἀφ' ὧν πρακτικὴ φρόνησις συναθροίζεται, μόνας ἡδομένους [13]) τὰς τοῦ σώματος ἡδονάς, καὶ τούτων γε τὰς ὑλικωτάτας, ὅσας ἁφή τε καὶ γεῦσις [14]) πορίζουσι, βίον ζῶντας θαλαττίου πνεύμονος. Ἕως οὖν ἀπαξιοῦτε [15]) τὸν ἄνθρωπον, οὐδὲ τῆς ἀνθρώπου τυγχάνετε τελειότη- 15 A

in αι mutato) Mon. C. παραίφευσις (sic) Mon. D. Vid. Iliad. XI. 791. et XV. 404.

7. σκηνὴν, superscr. φαντασίαν, Par. C. Vat. Mox pro ἡμῖν scripsi ὑμῖν duce libro Mon. D. Ita e corr. pr. m., ut videtur, habet etiam Barocc. ἡμῖν (superscr. υ) Mon. A. Par. C. Tum Vind. τῶν βαρβαρικῶν. Deinceps ἐκτεθειῶσθαι legendum censet V. Cl. *Lobeckius* ad Sophocl. Aiac. p. 196. ed. 2. not. 2. infra posit.

8. ὑμᾶς a corr. m. habent Mon. AC. ἡμᾶς Par. A. Barocc. Mon. F.

9. δυσχεραίνῃς Barocc. et Mon. D.

10. οὐκ εἴη σόν Mon BE. οὐκ εἰς σέ (ita et Rehd.), in m. οὐκ ἔστι σόν Mon. F. οὐκ εἰς σέ, in ora οὐκ ᾖ σόν Par. D.

11. ἐξανδραποδισθείητε Mon. BEG. Sed alt. lectionem Mon. B inter lin., et Mon. E. in m. habent. Proxime γινόμενοι Mon. F. Tum κατακλείτους Vind.

12. ἐφ' ἑαυτῶν Mon. F. ὑπ' αὐλήτων (immo αὐλικῶν), *ab aulicis obsessos*, in mentem venit *Bevingio*.

13. αἰδουμένους Turn. L. V.

14. *Aristot.* Eth. III. 10, 8. ibique *Zell.* coll. *Philon.* Iud. T. V. p. 294. sq. ed. Pfeiff., et *Gregor.* Naz. Or. XI. p. 244. D. ed. Maur. Dein ζῶντες Par. AC. Mon. BD EF. Barocc. Rehd. ζῶντες (superscr. ας) Par. D. Πνεύμονος ex em. habet Mon. A. πνεύματος, superscr. γρ. πνεύμονος, Mon. B. πνεύματος Mon. E. Vid. Plat. Phileb. p. 21. C.

15. ἀπαξιοῦται (superscr. ε) ab una m. Mon. E. Idem τυγχάνεται (superscr. ε).

τος· καὶ γὰρ οἷς σύνεστε παρὰ δίαιτάν [16]) τε καὶ ἄλλως, καὶ οἷς ἔστιν εἰς τὰ βασίλεια πάροδος [17]) ἀδεέστερον, ἢ στρατηγοῖς τε καὶ λοχαγοῖς, τούτους οὓς [18]) χαρίεντας ἄρα παρασκευάζεσθε, τοὺς μικροκεφάλους τε καὶ ὀλιγογνώμονας, οὓς ἡ φύσις ἁμαρτάνουσα παραχαράττει, καθάπερ ἀδικοῦντες οἱ τραπεζῖται τὸ νόμισμα· καὶ γίνεται βασιλεῖ δῶρον ἀπόπληκτος ἄνθρωπος καὶ μεῖζον ὅσον ἀποπληκτότερος· οὗτοι γελασείοντες ἐν ταὐτῷ [19]) καὶ κλαυσείοντες ἀτελῶς, καὶ σχήμασι καὶ ψόφοις καὶ ἅπασιν ὅσοις οἷόν τε [20]) βωμολοχοῦντες συνδιαφθείρουσιν B ὑμῖν [21]) τὸν χρόνον, καὶ τῆς ψυχῆς τὴν ἀχλὺν [22]), ἣν ἐκ τοῦ μὴ φύσει ζῆν ἔχετε, κακῷ μείζονι παραμυθοῦνται. Τούτων τὰ κολοβὰ διανοήματα καὶ ῥήματα ταῖς ἀκοαῖς ὑμῶν ἐναρμόζεται [23]) μᾶλλον, ἢ νοῦς ἐκ φιλοσοφίας ἐν γλώττῃ περιτράνῳ τε [24]) καὶ στρογγύλῃ. Ὃ δὲ τῆς θαυμαστῆς οἰκουρίας ἀπολελαύκατε, τοῦ δήμου τὸ μὲν φρόνιμον ὑποπτεύοντες καὶ πρὸς ἐκείνους ἀποσεμνυνόμενοι, τὸ δὲ ἀνόητον εἰσάγοντες [25]) καὶ πρὸς ἐκείνους ἀπογυμνούμενοι, ἔδει μὲν εἰδέναι καλῶς ὅτι ταῖς αὐταῖς [26]) παρασκευαῖς ἕκαστον αὔξεται καὶ συγκροτεῖται [27]). C

16. Ita legi iussit *Wakefield.* Silvv. critt. P. IV. p. 254, assentientibus libris Par. CD. Mon. ACDF. Barocc. Rehd. Turn. L. V. et m. Petav. 1. 2. περὶ δ. exhibent Codd. rell. c. Edd.

17. πρόοδος Par. B et Mon. D. γρ. πάροδος int. lin. habet Par. D.

18. οἷς Rehd. et Mon. F. οὓς tamen posterior in m. ὡς coni. *Camerarius.* Dein παρασκευάζεσθαι primo Mon. D. Paullo post τραπεζῖται Monacc. c. Rehd. et τὰ νομίσματα, quod malim, Par. A. Turn. L. V. et m. Petav. 1. 2.

19. ἐν ταυτῷ Monacc. Rehd. Tum κλαυσίοντες Mon. F.

20. οἷόν τε pro οἷοί τε praebuerunt Codd. omnes, Turn. L. V. et m. Petav. 1. 2.

21. συνδιαφθείρουσιν ἡμῖν primo Mon. C.

22. ἀχλὴν Mon. E. (item Mon. FG), in marg. a r. m. ἀχλύν. Cf. Noster de Provid. p. 107. D. Tum ᾗν Mon. B. ἣν ex ᾗν r. m. correxit in Mon. E. — ἐκ τοῦ] αὐτοῦ; in m. ἐκ τοῦ Mon. F.

23. ἐναρμόζονται Vind.

24. τε om. Mon. AC. Dein στρογγύλ$\overset{η}{ῳ}$ Mon A.

25. Ita Mon. ACD. Vind. et in m. Mon. F. εἰσαγόμενοι vulg.

26. Add. gl. ταῖς οἰκείαις Par. C. Barocc.

27. συγκρατεῖται Turn. L. V.

Ἀλλ' ἂν ἐπιδράμῃς τῷ νῷ τὴν ὅποι ποτὲ τῆς γῆς ἐκταθεῖσαν [29]) ἀρχὴν, εἴτε τῶν Παρθυαίων, εἴτε τῶν Μακεδόνων, εἴτε τῶν Περσῶν, εἴτε τῶν παλαιτάτων [29]) Μήδων, εἴτε τὴν ἐν ᾗ ζῶμεν, ἄνδρες δημοτικοί τε καὶ στρατιῶται, καὶ τὰ πολλὰ συνθυραυλοῦντές τε καὶ χαμευνοῦντες τοῖς ἐν ταῖς φάλαγξι [30]), καὶ οὔτε μειονεκτοῦντες πόνων, οὔτε πλεονεκτοῦντες ἡδονῶν, ἑκάστην ἐπικράτειαν ἐπὶ μέγα προήγαγον· δι' ἐπιμελείας ἄνθρωποι κτώμενοι τἀγαθὰ [31]) καὶ γενόμενοι ζηλωτοὶ [32]) χαλεπῶς ἂν ἔτι τὴν D τάξιν τηροῖεν ἄνευ φρονήσεως. Ἔοικε γὰρ εὐτυχία φορτίον [εἶναι] [33]) μολίβδου περιβριθέστερον. Περιτρέπει γοῦν [34]) τὸν ἀναθέμενον, ἣν μὴ πάνυ ῥωμαλέος ὢν τύχῃ. Ψυχῆς δὲ ῥώμην [35]) ὑπισχνεῖται μὲν φύσις, τελειοῖ δὲ ἄσκησις [36]), εἰς ἣν σὲ, βασιλεῦ, προτρέπει φιλοσοφία,

De re cf. *Polyb.* Reliqq. X, 36, 5. et *Sallust.* Cat. 2.

28. ἐκταθεῖσαν Mon. BE. ἐκτεθ. Par. D. et Turn. L. V. Item Rehd. Sed in hoc libro r. m. ε in α mutavit. Supra τα est rasura in Mon. A. Deinceps τὴν Παρθυαίων (ita et Par. A.) — τὴν Μακεδ. — τὴν Περσ. Mon. AC. Vind. τὴν τῶν Παρθ. (τῶν Π. Par. D) — τὴν Μακ. — τὴν Περσ. Par. BD. Mon. BE. τὴν τῶν Παρθ. — τὴν τῶν Μακ. — τὴν Περσ. Mon. F. Idem liber Παρθυαίων, εἴτε τῶν in marg. supplet. τὴν Περσ. habent etiam Par. C. Mon. D. Rehd. Turn. Petav. 1. τῶν Περσ. Petav. 2.

29. παλαιοτάτων Mon. F.

30. Ante verba: τοῖς ἐν ταῖς φάλαγξι in Barocc. est rasura. Articulum τοῖς, qui vulgo et in Cod. Rehd. desideratur, praebuerunt 4 Pariss. Monacc. omnes et Barocc. Adest procul dubio etiam in Vind. Tum φάλαγξιν Par. AB.

31. τὰ ἀγαθὰ Mon. DF.

32. ζηλοταὶ (οι) Mon. F. ζηλωταὶ Mon. B (a m. pr.) et Rehd. Turn. L. V. Part. ἂν abest a Mon. A et Vind.; dein ἔτι (ἐπὶ, in m. ἔτι Mon. F.) a Par. A. Mox idem liber ἐπιτηροῖεν.

33. εἶναι om. Pariss. et Monacc. excepto Mon. F, in quo punctis notatum est, una cum Barocc. Quare cancellis circumscripsi. — πολυ περιβριΜθέστερον on. BG.

34. γ' οὖν Mon. BE. Mox ῥωμαλαῖος Mon. F et Rehd.

35. ῥώμης Vind.

36. In marg. Codicum Mon. AC. Par. C et Barocc. exstat hoc schema:

ἀσκεῖν	ῥᾳθυμεῖν
τελειοῦν	φθείρειν.

φυλαττομένη [37]) γενέσθαι τὸ ἐκ λόγου συμβαῖνον. Τοῖς γὰρ ἐναντίοις[38]) τῶν συνιςάντων ἕκαςον φθείρεται. Καὶ οὐκ ἀξιῶ παραβαθῆναι τῷ βασιλεῖ Ῥωμαίων [39]) τὰ πάτρια. Πάτρια δὲ ἡγοῦ Ῥωμαίων οὐ τὰ χθὲς καὶ [40]) πρώην εἰς ἐκδεδιῃτημένην ἤδη παρελθόντα τὴν πολιτείαν, ἀλλ' ἐν οἷς ὄντες ἐκτήσαντο τὴν ἀρχήν. 16 A

16.

Ἐπεὶ φέρε πρὸς τοῦ βασιλείου θεοῦ καί μοι πειρῶ διαμεῖναι· θυμοδακὴς γὰρ ὁ [1]) μῦθος· πότε κάλλιον ἔχειν ἡγῇ [2]) τὰ Ῥωμαίων πράγματα; ἀφ' οὗ περιπόρφυροί τέ ἐςε καὶ περίχρυσοι, καὶ λίθους ἐξ ὀρῶν [3]) τε καὶ θαλαττῶν βαρβάρων τοὺς μὲν ἀναδεῖσθε, τοὺς δὲ ὑποδεῖσθε, τοὺς δὲ περικεῖσθε, τοὺς δὲ ἐξαρτᾶσθε, τοὺς δὲ περονᾶσθε, τοῖς δὲ ἐφιζάνετε; Τοιγαροῦν ἀπε-

Idem habet Cod. Vat. infra ad v. τοῖς γὰρ ἐναντίοις.

φυλάττυσα
37. φυλαττομένη Par. C et Vat.
ἐξ ἀκολυθίας
Dein ἐκ λόγου Par. C.

38. Codd. Mon. AC. Par. C. Vat. Barocc. et Vind. in marg. exhibent hoc scholium: Διαλεκτικὸς λόγος (ὁ λόγος Barocc.) ὁ λέγων (ἐςὶν pro ὁ λέγων Mon. C)·
η
εἰ τῷ (τῳ, sic, Vind.) ἐναντίῳ τὸ ἐναντίον, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον (καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ Barocc.). Εἰ γοῦν τὴν ἐπαγγελίαν τῆς φύσεως τελειοῖ ἄσκησις, δῆλον ὅτι (ita rectius Mon. C; δηλονότι rell.) ἡ ῥᾳθυμία φθείρει. Καὶ τοῦτ' ἂν εἴη τὸ φθείρεσθαι ἕκαςον τῶν συνιςάντων τοῖς ἐναντίοις (τὸ ἐναντίον Barocc.)· ὃ (ὁ Vind.) γὰρ ῥᾳθυμία πρὸς φθορὰν ἄγει, σπουδὴ καὶ ἄσκησις ἀνορθοῖ, καὶ ὃ (ὃ om. Mon. C; Vind., ut supra, ὁ) τελειοῖ σπουδὴ καὶ ἄσκησις, ῥᾳθυμία φθείρει.

39. τῶν Ῥωμαίων Mon. BE.

40. Deest καὶ in Rehd. Tum πρῴην Mon. B. — ἐκδιῃτημένην (sic) Mon. D.

Cap. XVI. 1. Deest articulus in Codd. Par. BD et Mon. BE, ut in Odyss. VIII. 18.

2. ἡγεῖ primo Mon. D.

3. ἐξορῶν Mon. F. ἐξ ὀρῶν Mon. C. Mox θαλασσῶν Mon. ABDE. Barocc. Vind. Ante βαρβάρων inserunt τῶν Mon. BE. Dein ἀναιδεῖσθε Mon. F. ἀναδῆσθε — ὑποδῆσθε Mon. D. Verba τοὺς δὲ ὑποδεῖσθε om. Par. D. Mox ἐφιζάνεσθε Turn. L. V. et m. Petav. 1. 2., probante *Spanhemio* Preuves des Remarques sur les Césars de l'empereur Iulien. p. 71.

τελέσθητε [4]) θέαμα ποικιλώτατον καὶ πάγχρουν, ὥσπερ οἱ ταῴ [5]), τὴν Ὁμηρικὴν ἀρὰν ἐφ' ἑαυτοὺς ἕλκοντες, τὸν χιτῶνα τὸν λάϊνον. Ὑμῖν δὲ οὐδὲ χιτὼν [6]) οὗτος B ἀποχρῶν· οὐ γὰρ εἰσιτητὸν [7]) εἰς τῶν ὁμοτίμων τὸ βουλευτήριον, ἡνίκα ἂν τὴν ἐπώνυμον ἀρχὴν ἄρχητε [8]), οὔτε ἀρχαιρεσιαζόντων, οὔτε ἐπ' ἄλλῳ τῳ συνεδριαζόντων, ἣν μὴ καὶ πέπλον τοιοῦτον ἐγκορδυλήσησθε. Καὶ δῆτα ἀποβλέπεσθε [9]) ὑπὸ τῶν ἀνθρώπων, οἷς θέμις ὁρᾶν, ὡς μόνοι τῶν βουλευτῶν εὐδαίμονες, μόνοι τῶν βουλευτῶν ἀχθοφοροῦντες· ἀλλὰ καὶ [10]) γάννυσθε τῷ φορτίῳ, καθάπερ εἴ τις χρυσῷ δεθεὶς καὶ μᾶλλον πολυταλάντοις [11]) ταῖς πέδαις, ἔπειτα μηδὲν [12]) ἐπαΐοι τοῦ C

4. ἀποτελέσθητε Mon. D. Dein ποικιλότατον Mon. AC.

5. οἱ ταῷ Turn. et Patus. οἱ τάῶ Petav. 1. 2. οἱ ταὼ Mon. ABCDE c. Barocc. Cf. *Bast* ad Gregor. Cor. p. 646. ἡ ταὼς Rehd. et Mon. F, item e corr. Par. B. Ex rell. Pariss. nihil enotatum. Quem hic tetigit Noster, Homericus locus est in Iliad. III. 56. sq. Cf. *Eustath.* p. 379, 24.

6. οὐ χιτὼν Mon. ACD. Barocc. Vind.

7. εἰσητητὸν Rehd. et Mon. F. εἰσητὸν m. Petav. 1. 2. εἰσιτὸν Turn. L. V.

8. ἄρχετε Par. B. Mon. BE. Tum ἀρχαιρέσιαζόντων c. gl. περὶ ἀρχῆς βουλευομένων Vat. et Mon. C. Praepositionem ἐπ' ante ἄλλῳ om. Par. A. ἐπ' ἄλλῴ τῳ exhibent Par. BD. Mon. ACDF. Barocc. Rehd. c. Edd. Turn. et Petav. 1. ἐπ' ἄλλῳ τῷ Mon. B. Petav. 2. et primo Mon. E, in quo ultimae syllabae vocis ἄλλῳ secunda manus acutum imposuit, accentu supra τῷ non mutato. Sed scribendum est ἐπ' ἄλλῳ τῳ. Vid. *Schaefer.* ad Phalarid. Epistt. ed. Lennep. p. 224. Συνεδριαζόντων cum Edd. tuetur Rehd. συνδριαζόντων mendose scribit Mon. F, in m. autem habet συνεδρευόντων, assentientibus Codd. rell. Turn. L. V. et m. Petav. 1. 2. Est quidem haec forma usitatior; sed retinenda h. l. altera fuit, utpote rarior et ὁμοιοτέλευτος, ideoque dictioni Synesianae accommodatior. Cf. p. 16. A. et 28. D. In seqq. δὲ pro καὶ Petav. 2. typothetae errore. Tum πεπλον (sic) Barocc.; in m. γρ. πλεον (sic). Deinceps ἐγκορδυλίσησθε male Petav. 1. 2. ἐγκορδυλήσεσθε Mon. A. Respexit Noster fort. *Aristoph.* Nub. v. 10.

9. ἀποβλέπεσθαι Par. B. Tum ἀπὸ τ. ἀ. primo Mon. B et Rehd., item, superscripto ὑπὸ, Mon. F.

10. καὶ c. Edd. soli agnoscunt Codd. Rehd. et Mon. F.

11. πολυταλάντῳ (ult. corr.) Rehd.

12. Pro μηδὲ restitui μηδέν, laudatum iam a *Boissonadio* (Noti-

κακοῦ, μηδὲ ἡγοῖτο σχέτλια πάσχειν εἰς δεσμώτας τελῶν, ἠπατημένος τῇ πολυτελείᾳ τῆς συμφορᾶς. Ἀλλ' οὔ γε [13]) μᾶλλον κινήσεται τῶν ἐν τῇ ποδοκάκῃ, τῷ φαυλοτάτῳ τῶν ξύλων. Ὑμῖν δὲ οὐδὲ τοὔδαφός ἐϛιν ἀνεκτὸν, οὐδ' ἂν ἐμπεριπατήσητε κατὰ φύσιν [14]) ἐχούσῃ τῇ γῇ· ἀλλὰ δεῖ [15]) τὴν χρυσῖτιν ἐπιφορεῖν, ἣν ἐκ τῶν πέραν ἠπείρων ὑμῖν ἀπῆναί τε καὶ ὁλκάδες διακομίζουσι [16]), καὶ ϛρατιά τίς ἐϛιν οὐ φαύλη τῶν τὸ χῶμα ῥαινόντων. Οὐ γὰρ βασιλικὸν ἡγεῖσθε [17]), μὴ οὐχὶ καὶ τοῖς σκύτεσι τῶν ὑποδημάτων τρυφᾶν. Νῦν οὖν ἄρ' [18]) D ἄμεινον πράττετε ἀφ' οὗ περὶ τοὺς βασιλέας ἡ τελετὴ συνέϛη, καὶ θαλαμεύεσθε [19]) καθάπερ αἱ σαῦραι, μόλις, εἴ πη, πρὸς τὴν εἵλην ἐκκύπτουσαι, μὴ φωραθείητε ὑπὸ τῶν ἀνθρώπων ὄντες ἄνθρωποι; ἢ τόθ' ἡνίκα [20]) ἐξηγοῦντο τῶν ϛρατευμάτων ἄνδρες ἐν μέσῳ ζῶντες, μέλα-

ces et Extraits des MSS. de la Biblioth. du Roi T. X. P. II. p. 235. et ad Eunap. p. 311.) e Cod. Par. C, quocum faciunt etiam Par. ABD. Monacc. omnes et Vind. Silet Barocc. Tum ἔπαιει Vind. Paullo post εἰς δεσμότας Mon. F.

13. οὔ γε correctum est ex οὔτε in Vind. οὐδὲ habent Rehd. Mon. F. Turn. L. V. et m. Petav. 1. 2. Infra ποδοκάκκῃ Mon. D. Turn. Patus.

14. πρὸς φύσιν Turn. L. V.

15. δὴ Mon. C. Tum χρυσῆτιν (superscr. ιν) id. χρυσίτην Mon. F. χρυσίτιν Mon. A. Rehd. In seqq. ἀπῆναι c. gl. ἅμαξαι Mon. C.

16. διακομίζουσιν Mon. BE. Tum ϛρατιὰ (ex emend.) Mon. A. ϛρατεία Mon. BCDE. Par. CD. Barocc. — χρῶμα pro χῶμα Mon. F.

17. ἡγεῖσθαι Barocc. Dein σύντεσι, in m. σκύτεσι, Mon F.

18. Ita c. Edd. Petav. 2. et Venet. 2. Codd. Mon. C. Rehd. Vind. Rell. Monacc. ἄρ'. Tum πράττεται Mon. F.

19. θαλαττεύεσθε Mon. D. Proxime εἴ πῃ in Mon. BE. Post has voculas in Barocc. a s. m. superscriptum est συμβαίη, et Par. C inter vers. habet hoc schol.: ἀντὶ τοῦ εἰ τύχῃ (leg. potius τύχοι). Pro vulg. εἴλην receptum εἵλην ex Mon. ABCDE. De qua scribendi ratione vid. *Ast.* ad Plat. Legg. p. 275. Εἵλην abiit in ὕλην in Barocc. et Mon. F, idemque vitium primo fuerat in Mon. ACD. De hac confusione dixit *Wyttenbach*. Epist. crit. ad Ruhnken. p. 231. ed. Lips. Ex rell. Codd. nihil enotatum varietatis.

20. ἡνίκ' Mon. ACD.

νες ὑφ' ἡλίῳ καὶ τὰ ἄλλα ἀφελῶς τε καὶ αὐτοσκευῶς ἔχοντες, ἀλλ' οὐ διθυραμβωδῶς [21]) καὶ τραγικῶς, ἐν πίλοις Λακωνικοῖς, οὓς ἐν ταῖς εἰκόσι θεώμενα γελᾷ τὰ μειράκια, καὶ οὐδὲ ὁ γέρων δῆμος εὐτυχεῖς ἡγοῦνται γεγονέναι, πρὸς δὲ ὑμᾶς ἐξετασθῆναι, καὶ παντάπασι κακοδαίμονας [22]); Ἀλλ' ἐκεῖνοί γε οὐκ ἀποτειχίζοντες [23]) 17 A
τὴν οἰκείαν, εἶργον οὔτε τοὺς Ἀσιανοὺς, οὔτε τοὺς Εὐρωπαίους βαρβάρους, ἀλλ' οἷς ἐποίουν, ἐκείνους [24]) ἐνουθέτουν τὴν σφετέραν ἀποτειχίζειν, θαμὰ διαβαίνοντες τὸν Εὐφράτην ἐπὶ τὸν Παρθυαῖον, τὸν δὲ Ἴστρον ἐπὶ τὸν Γέτην τε [25]) καὶ Μασσαγέτην. Οἱ δ' οὖν [26]) ἕτερα ἀντὶ τούτων ὀνόματα θέμενοι, ἕτεροι δ' αὐτῶν καὶ τὰ πρόσωπα τέχνῃ παραποιήσαντες [27]), ἵνα δὴ δοκοίη γένος ἄλλο [28]) νέον τε καὶ ἀλλόκοτον ἐκφῦναι τῆς γῆς, δεδίττονται [29]) ὑμᾶς ἀντιδιαβαίνοντες, καὶ μισθὸν εἰρήνης ἀξιοῦσι πράττεσθαι,

ἢν μὴ [30]) σύ γε δύσεαι ἀλκήν. B

21. διθυραμβωδῶς Edd. Turn. et Petav. 1. 2. c. Venet. 1. 2. Male. Vid. Append. ad Bastii Epist. crit. p. 6. Add. gl. μαλθακῶς Par. C et Vat. Pro τραγικῶς est ϛρατηγικῶς in Par. B et Mon. BE. De qua permutatione vid. *Schaefer.* ad Plutarch. Vitas Vol. IV. p. 80.

22. κακοδαίμονες Par. BD. Mon. ABDEF. Vind.

23. ἐπιτειχίζοντες (ἀπο) Mon. F. ἐπιτειχ. Rehd. Turn. L. V. et m. Petav. 1. 2. Dein pro οἰκίαν Camerarius iam emendavit οἰκείαν suffragantibus Codd. Pariss. Mon. ABCDE. Barocc. Rehd.

24. ἐκείνοις Rehd. Mon. F. Mox ἐπιτειχίζειν iidem. Tum εὐφράντην Mon. C.

25. τε om. Par. C. Dein μασαγέτην scribunt Par. CD. Mon. ADF. Barocc. Rehd.

26. Ita Venet. 2. δ' om. Rehd. Turn. Venet. 1. οἵ δ' Mon. D. οἵδ' Petav. 1. 2. οἱ δὲ Vind. Mon. F. οἵδε Mon. A. Par. C. οἵ δε Mon. C. οἱ γ' οὖν Par. ABD. οἱ γοῦν Mon. BE. Mox δὲ αὐτῶν Mon. C. et primo Mon. A. δ' ἑαυτῶν Par. BD. Mon. BDE. Barocc.

27. παραποιήσαντες (περι) Mon. B. περιπ. Turn. L. V. et m. Petav. 1. 2.

28. ἄλλον Rehd. Mox γε (τε) Mon. E. Tum ἐκφῆναι, υ a s. m. superscr., Rehd. ἐκφῆναι Mon. F.

29. δεδίττωνται Mon. F. Rehd. Pro ὑμᾶς scribitur ἡμᾶς in Mon. ACF. et Rehd., idque vertendo expressit Petavius. Cf. *Pierson.* ad Moer. Attic. p. 118.

30. εἰ μὴ Mon. C, ut Iliad. IX. 231 et in Nostri Epist. 118. p. 256.

17.

Ἀλλ' ἀφείσθω μὲν, εἰ δοκεῖ, τὰ παλαιὰ πρὸς τὰ νῦν ἐξετάζειν, ἵνα δὴ μὴ [1]) δοκοίημεν ἐν σχήματι παραινέσεως ὀνειδίζειν, δεικνύντες ὡς ὅσον ἐπέδωκεν εἰς σχῆμα σοβαρὸν τὰ βασιλέως, τοσοῦτον ἀληθείας ἀφήρηται. Εἰ δὲ, ὥςπερ ἐν τῇ καθ' ὑμᾶς [2]) ποικιλίᾳ γενόμενος ὁ λόγος ἐφιλοχώρησε, νέμοι τινὰ μοῖραν ἑαυτοῦ καὶ τῇ πάλαι τῶν βασιλέων εἴτε ἀγροικίαν καλοῦμεν [3]) αὐτὴν, εἴτε λιτότητα βούλεσθε [4]), καλῶς ἂν ἀλλήλαις ἀντιπαρεκδύοιντο πολυτέλεια καὶ εὐτέλεια· καὶ γυμνὰς C ἂν οὕτω θεώμενος, ἐρασθείης ἀληθινοῦ βασιλέως κάλλους, ἀφεὶς τὸ φαινόμενόν τε καὶ ἐπιποίητον. Οὐκοῦν ἐκείνην μὲν ἀπὸ τῶν χρωμάτων [5]) τὸ πλέον ἐγράφομεν· ταύτην δὲ οὐκ ἔςιν ἀπὸ τούτων [6]), ἄλλοθεν δὲ λαβεῖν· οὐ γάρ ἔςιν αὐτῇ [7]) περιττά, μὴ πραγματευομένῃ περὶ αὐτά· τὰ δὲ ἤθη μᾶλλον εἰκόνες ἂν αὐτῆς εἶεν. Καί τι ἔργον [8]) εὐθὺς συμπροκύπτει τῶν κατὰ φύσιν ἐχόντων βίων ταῖς προβολαῖς. Ἑνὸς οὖν ἄξιον ἐπιμνησθῆναι

B. Pro vulg. δύσσεαι receptum δύσεαι ex Pariss. Mon. ABCDE. Rehd. Cf. *Iulian.* Orat. VII. p. 229. D.

Cap. XVII. 1. ἵνα μὴ δὴ Par. A. Mox ἀπέδωκεν Mon. C. Deinceps εἰ σχῆμα Mon. BE. Proxime τὸ βασιλέως Mon. D. τὰ βασι-
λέως
λεια Mon. A. τὰ βασίλεια Vind.

2. καθ' ἡμᾶς primo Rehd. Dein ἐφιλοχώρησεν Mon. BE.

3. Ita Barocc. a corr. m. καλῶμεν Par. ACD. Mon. ABCDE.

4. βούλεσθαι Mon. E: ε ex αι corr. in Mon. D. Tum κακῶς
ἂν
Turn. L. V. — ἐν ἀλλήλαις ἀν-
οιν
τιπαρεκδύοντο Mon. F.

5. Ita correxit. *Hier. Wolfius*, assentiente Codice Mon. C. ἀπὸ τῶν χρημάτων c. Edd. habent Codd. rell. De utriusque vocabuli confusione vid. supra Cap. III. p. 8. n. 22. coll. *Schaefer.* ad Dionys. Hal. p. 130. *Bast.* et *Schaefer.* ad Gregor. Cor. p. 183. *Iacobs.* ad Achill. Tat. p. 839. Seq. artic. om. Rehd. τοπλέον scribit Mon. C.

6. ἀπὸ τούτων om. Pariss. AB et Mon. BE.; habet a s. m. int. lin. Rehd. Tum λαχεῖν pro λαβεῖν Mon. A.

7. αὐτῇ corr. ex αὐτᾷ in Mon. AC. Ad πραγματευομένῃ exhibent gl. ἀσχολουμένῃ Par. C. Vat. Barocc.

8. Ita Par. BCD. Mon. ABC

βασιλέως καὶ [9]) ἤθους καὶ ἔργου· καὶ γὰρ ἀποχρῶν D ὁτιοῦν [10]) πάντα συνεφελκύσασθαι.

18.

Λέγεται δή [1]) τινα τῶν οὐ λίαν ἀρχαίων, ἀλλ' ὃν [2]) ἂν εἴδειεν καὶ τῶν νῦν γερόντων οἱ πάπποι, εἰ μὴ νέοι τοὺς παῖδας ἐτέκνωσαν, καὶ παρὰ νέων τῶν παίδων ἐγένοντο πάπποι· λέγεται δή [3]) τινα ἐκείνων στρατείαν μὲν ἄγειν [4]) ἐπὶ τὸν Ἀρσακίδην εἰς Ῥωμαίους ὑβρίσαντα· ἐπειδὴ δὲ πρὸς ταῖς ὑπερβολαῖς τῶν Ἀρμενίων [5]) γενέσθαι, πρὶν ἐπιχειρῆσαι τῇ πολεμίᾳ, δείπνου τε αὐτὸν ἐρασθῆναι καὶ ἐπιτάξαι τῇ στρατιᾷ τοῖς ἀπὸ τῶν σκευοφόρων ἀγαθοῖς χρῆσθαι, ὡς ἐγγύθεν ἐπισιτουμένοις [6]), ἦν δέῃ· ἐδείκνυε [7]) δὲ ἄρα τοὺς Παρ- 18 A θυαίων ἀγρούς· ἐν τούτῳ δὲ ὄντων, πρεσβείαν ἐκ τῶν πολεμίων παρεῖναι καὶ οἴεσθαι μὲν ἤκουσαν [8]) προεντεύξεσθαι τοῖς βασιλεῖ παραδυναστεύουσι, καὶ τούτων γε

DE. Barocc. Vind. καίτοι καὶ ἔργον c. Edd. Codd. rell. Mox προσβολαῖς Par. BC. Mon. A. Vat. Barocc. Rehd. Vind. Turn. L. V. et m. Petav. 1. 2. γρ. προβολαῖς in m. Rehd. Add. gl. φανερώσεσι Par. C. Vat. Barocc. Mon. C.

9. Part. καὶ a s. m. habet Rehd.

10. ὅτι οὖν Mon. BE. ὁτοιοῦν Rehd. Ante πάντα (πάντας Rehd. et Mon. F) a s. m. int. lin. habet ταχα (sic) Barocc.

Cap. XVIII. 1. δὲ Par. ACD. Mon. ABCDE. Barocc.

2. Ita pro ὧν iidem libri, probante *Boissonadio* Anecdott. Gr. Vol. III. p. 168. Pro εἴδειεν legitur ἔδειξαν in Turn. L. V. Mox partic. νῦν abest a Petav. 1. 2.

3. δὲ 4 Pariss. et Mon. ABC DE.

4. Fort. στρατιὰν - ἀγαγεῖν. Dein ἀρσακίδαν Mon. E.

5. ταῖς ἀρμενίων Par. BCD. Barocc. Mon. D. Turn. L. V. Unde coniici posset ταῖς τῶν Ἀρμ. Cf. *Schaefer.* Meletem. critt. p. 9. et Apparat. crit. et exeget. ad Demosth. T. I. p. 196. 216. *Iacob.* Quaestt. Lucian. Spec. I. ad calc. Lucian. Tox. p. 4. sq. Sed vid. *Ast.* ad Plat. Gorg. p. 59. Tum ἐπιχειρῆται Mon. E.

6. Ita 4 Pariss. Monacc. omnes, Rehd. Vind. Silet Barocc. ἐπισιτιουμένοις vulg.

7. ἐδείκνυε Vind. ἐδείκνυεν Mon. BE. Tum παρθυαίους Mon. C.

8. ἤκουσαν Mon. ABE. Barocc. Mox βασιλεῖ superscriptum in αὐ Mon. F. Proxime οὖν id.

αὖ πελάταις τισὶ καὶ εἰσαγγελεῦσιν, ὡς εἰς [9]) ἡμέραν πολλοστὴν ἀπ' ἐκείνης τοῦ βασιλέως τῇ πρεσβείᾳ χρηματιοῦντος· συνενεχθῆναι [10]) δὲ κατ' αὐτόν [11]) πως γενέσθαι τὸν βασιλέα δειπνοῦντα [12]). Οὐ γὰρ ἦν πω τὸ τῶν δορυφόρων τοιοῦτον, ἀπὸ τῆς στρατιᾶς [13]) στρατιά τις ἔκκριτος, νέοι πάντες, πάντες εὐμήκεις, τὰς κόμας ξανθοί τε καὶ περιττοί,

Αἰεὶ [14]) δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα, B

χρυσάσπιδες καὶ χρυσολόγχαι, οἷς, ὅταν ποτὲ [15]) ὀφθῶσι, τὸν βασιλέα σημαινόμεθα [16]), καθάπερ, οἶμαι, ταῖς προανισχούσαις ἀκτῖσι [17]) τὸν ἥλιον· ἀλλὰ πᾶσα φάλαγξ τὸ οἰκεῖον ποιοῦσα δορυφόρος ἦν τοῦ βασιλέως τε καὶ τῆς βασιλείας. Οἱ δὲ ἁπλῶς ἑαυτῶν [18]) εἶχον, οὐκ ἀπὸ τῆς σκευῆς, ἀλλ' ἀπὸ τῆς ψυχῆς βασιλεῖς ὄντες, καὶ τἄνδον [19]) τοῦ πλήθους διέφερον· τὰ δὲ ἐκτὸς ὅμοιοι τοῖς ἀγελαίοις ἐφαίνοντο [20]), ὥσπερ ἔχοντά φασι τὸν Καρῖνον ὑπὸ τῆς πρεσβείας ὀφθῆναι. Φοινικοβαφὴς χιτὼν, καὶ ἐπὶ τῆς πόας ἐκέκλιτο· τὸ δὲ δεῖπνον ἦν πίσινον [21]) ἕωλον ἔτνος, καὶ ἐν αὐτῷ τεμάχια ἄττα [22]) C

9. Abest a Mon. A et Vind.

10. Addita gl. *συμβῆναι* in Par. C. Vat. Barocc.

11. Ita Codd. omnes. *κατ' αὐτὸ* vulg. Vid. *Schaefer.* ad L. Bos Ellipss. p. 552. Dein *πῶς* Rehd.

12. Hunc verborum ordinem praebuerunt Codd. omnes. Vulg. legitur *βασιλέα γενέσθαι δειπνοῦντα.*

13. *ἀπὸ τῆς στρατείας* Par. ABD. Mon. BDEF. Rehd. Turn. Dein *στρατία τις* Mon. BEF. *στρατιώτης* Mon. CD.

14. Ita pro *ἀεὶ*, quod Codd. cum Edd. habent, correxit *Gothofredus* ad Cod. Theodos. T. I. p. 140. ed. Ritter. Vid. Odyss. XV. 332. Partic. *δὲ* abest a Mon. AC. Par. C. Barocc. Dein *κεφαλάς τε* Bar.

15. *ὅτάν ποτε* Mon. B. *ὅτ' ἄν ποτε* (sic) Rehd. *ὅταν ποτ'* Mon. A. *ὅταν πότ'* Mon. C.

16. *προσημαινόμεθα* Mon. BE.

17. Ita Mon. ABCE. Barocc. et (in m.) Mon. F. *ἀκτῖσι* 4 Pariss. et Mon. D. *αὐγαῖς* vulg.

18. *ἑαυτὸν* Mon. C.

19. *τἄνδον* correctum e *τἄνδοθεν* in Mon. D.

20. *ἀγελίοις* et *ἐγίνοντο* (pro *ἐφαίνοντο*) Mon. D. Tum *καρίνον* Rehd. *καρκῖνον* Mon. C.

21. *πίσινον* c. Ed. Petav. 2. Par. ABC. Mon. BDE. Vat. Barocc. *πίσινοσ* Par. D. *πίσσινον* Codd. et Edd. rell. Marg. Vatic. et Barocc. *πῖσον· εἶδος ὀσπρίου.* Tum *ἕωλον* Mon. DF. Rehd. Add. gl. *χθεσινὸν* Par. C. Vat. *ἤτοι χθεσινὸν* habet Barocc. in m.

22. Ita c. alt. Petav. Codd. Par.

ταρίχη κρεῶν ὑείων, ἀπολελαυκότα τοῦ χρόνου. Ἰδόντα δὲ αὐτὸν οὔτε ἀναθορεῖν [23]), οὔτε μεταποιῆσαί τι λέγεται· καλέσαντα δὲ αὐτόθεν τοὺς ἄνδρας, εἰδέναι τε φάναι [24]) παρ' αὐτὸν ἥκοντας· αὐτὸς γὰρ εἶναι Καρῖνος [25])· καὶ κελεύειν ἀπαγγεῖλαι τῷ νέῳ βασιλεῖ τήμερον, εἰ μὴ σωφρονήσοι [26]), προςδέχεσθαι πᾶν μὲν [27]) ἄλσος αὐτῷ [28]), πᾶν δὲ πεδίον [29]) ἐν μιᾷ σελήνῃ ψι- D
λότερον ἔσεσθαι τῆς Καρίνου κεφαλῆς· ἅμα δὲ [30]) λέγοντά φασιν ἐκδῦναι τοῦ πίλου, δεικνύντα τὴν κεφαλὴν, οὐδέν τι δασυτέραν παρακειμένου τοῦ κράνους. Καὶ εἰ μὲν πεινῷεν, ἐφεῖναι συνεμβαλεῖν τῇ χύτρᾳ· μὴ δεομένους δὲ, κελεύειν αὔθωρον [31]) ἀπηλλάχθαι καὶ ἔξω τοῦ Ῥωμαϊκοῦ χάρακος εἶναι, ὡς τῆς πρεσβείας αὐτοῖς [32]) τέλος εὑρούσης. Λέγεται τοίνυν καὶ [33]) τούτων ἀνενεχθέντων ἐπὶ τὸ πλῆθος, καὶ τὸν ἡγεμόνα τῶν πολεμίων, ὧν τε εἶδον [34]), ὧν τε ἤκουσαν, ὅπερ εἰκὸς ἦν συμβῆναι, φρίκην καὶ δέος ἐπιπεσεῖν ἅπασιν, εἰ πρὸς ἄνδρας μαχοῦνται τοιούτους, ὧν ὁ [35]) βασιλεὺς οὔτε βασιλεὺς 19 A
ὢν, οὔτε φαλακρὸς αἰσχύνεται, καὶ χύτραν παρατιθέμε-

AB. Mon. ACF. Rehd. Vind. τεμάχι' ἄττα *Thom.* M. p. 352.

μ
6—8. τεμάχια Par. D. τεμμάχια Edd. Codd. rell. Cf. Calv. Enc. p. 81. D. Dion. p. 62. C. — ἄττα Rehd. Mon. F.

23. ἀνθορεῖν (sic) Mon. BCE.

24. φᾶναι Mon. BDE. Tum παρ' om. Mon. F.

25. αὐτὸν — — καρῖνον Mon. F.

26. σοφρονήσοι Edd. Turn. Petav. 1. 2. Patus.

27. μὲν omissum in Mon. E inter vers. a s. m. habet Rehd.

28. Ita pro vulg. αὐτῶν correxi iam in pr. Ed., quae Monachii prodiit, e Codd. Mon. AC, idque coniectavit etiam *Wakefield*. Silvv. critt. P. IV. p. 37.

29. παιδίον Rehd. Dein ψιλώτερον Par. C.

30. ἅμα τε Barocc. Tum ἐκδῦναι Mon. CF. Rehd. Mox του παρακ. κρ. Mon. BE. παρακ. που κράνου (*calvitia*, quae *forte* adiacebat) coni. *Wakefield*. l. c.

31. Ita Codd. omnes pro αὐθωρεὶ. Dein ἀπαλλάχθαι Rehd. Mon. F.

32. αὐτῆς Mon. C et primo Mon.
γρ. ἐχούσης
D. Mox εὑρούσης Mon. B. ἐχούσης Mon. ACDF. et Par. C.

33. καὶ om. Mon. AF. Rehd. Vind. Dein ἀνανεχθέντων Barocc.

34. ὧν τ' εἶδον Mon. ABC. Tum ὧν τ' ἤκουσαν Mon. AC. ἤκουσαν Mon. D. — ἦν] οὖν Mon. F.

35. Intercidit articulus in Mon.

νος συνδείπνους καλεῖ· ἀφικέσθαι δὲ τὸν βασιλέα τὸν ἀλαζόνα κατοῤῥωδήσαντα [36]), πάντα εἴκειν ἕτοιμον ὄντα, τὸν ἐν τιάρᾳ καὶ κάνδυϊ τῷ μετὰ χιτῶνος φαύλων ἐρίων καὶ πίλου.

19.

Αὗται ψυχῶν εὐγένειαι καὶ δυσγένειαι, [1]) *καὶ γένοιτ' ἂν οὕτω συγγενεῖς εἶναι Λίβυν ἄνδρα καὶ Παρθυαῖον, καὶ γένοιτ' ἂν οὕτως οὓς καλοῦμεν ἡμεῖς ἀδελφοὺς κατὰ μηδὲν εἶναι τῇ ψυχῶν συγγενείᾳ* [2]) *προσήκοντας, ὅπερ ἐπὶ τοῖν Αἰγυπτίοιν παίδοιν εὐθύς τε γειν-* 90 A *ομένων ὑπεσήμηνε, καὶ τελειουμένων λαμπρῶς διεδείχθη· ὁ μὲν γὰρ νεώτερος, θείᾳ* [3]) *μοίρᾳ καὶ φὺς καὶ τραφεὶς, τά τε ἐν βρέφει φιλήκοον ἦν καὶ φιλόμυθον* [4])*· ὁ γὰρ μῦθος φιλοσόφημα παίδων ἐστί* [5])*· καὶ ἐπιδιδοὺς, ἤρα παιδείας, ἀεὶ τὸν χρόνον ὑπερτεινούσης· τῷ τε πατρὶ τὰ ὦτα ὑπεῖχε* [6])*, καὶ ὅ τι ἕκαστος εἰδείη σοφὸν, περὶ ἅπαντα ἐλιχνεύετο, τὰ μὲν πρῶτα σκυλαστηδὸν ἀθρόα πάντα ἀξιῶν εἰδέναι, ὥσπερ ἀμέλει ποιοῦσιν αἱ φύσεις αἱ τὰ μεγάλα ὑπισχνούμεναι* [7])*· σφα-* B *δάζουσι καὶ προεξανίστανται τοῦ καιροῦ, ἤδη τὸ τέλος ἑαυταῖς* [8]) *τὸ ἐραστὸν ἐγγυώμεναι. Ἔπειτα μέντοι πολὺ πρὸ ἥβης* [9]) *ἡσυχαίτερός τε ἦν εὖ γεγονότος πρεσβύτου, καὶ σὺν κόσμῳ μὲν ἤκουε· δεῆσαν δέ ποτε καὶ αὐτὸν εἰπεῖν, ἢ ἀνερησόμενον περὶ ὧν ἤκουσεν, ἢ ἐπ' ἄλλῳ*

Cap. II. 1. Sic Codd. Pariss. AC. Mon. ACD. Vat. Pirckh. Vind. *αὖται* [η] *ψ. εὐγένειαι* [α] *καὶ δυσγένειαι* [α] Mon. B. *αὔτη ψ. εὐγένεια καὶ δυσγένεια* Edd. Turn. et Petavv. Tum *γένοιτο* Mon. BCD.

2. *συγγενίᾳ* Petav. 1. Mox *ἐπὶ τοῖν* (Mon. BCD *τὴν*) *αἰγυπτίων* [οιν] *π.* Par. B. *παίδιοιν* (sic) Petav. 2. Dein *γινομένων* [ει] (sic a pr. m.) Rehd. *γενομένων* Petav. 2. Pro *τελεουμένων* receptum *τελειουμένων* e Mon. AD. Par. CD. Vat. Pirckh. Vind.; *τελουμένων* dant Par. B. et Barb.

3. H. v. inter versus a s. m. habet Mon. A.

4. *φιλόμυθος* Par. D.

5. *ἐστιν* Par. B.

6. *τῷ τε τὰ* (sic) *π. τὰ ὦτα ὑπεῖχεν* Par. B. et Barb. Dein *ἕκαστα* Pirckh.

7. *ὑπισχνούμενοι* Pirckh.

8. *αὐταῖς* Laur. Dein pro *ἐραστὸν* iudice *Lobeckio* Paralipp. P. I. p. 272. not. 10. Synesius videtur scripsisse *ἀριστόν*.

9. *προήβης* Par. B. Deinceps *ἡσυχέστερος* Laur. Par. B. et Barb.; *τε* abest a Mon. BCD. Mox *ἤκουεν* scribit Barb.

τῳ [10]) πᾶς ἂν ἐπέγνω διαμέλλοντα καὶ [11]) ἐρυθαινόμενον. Καὶ ὁδῶν ἐξίςατο καὶ καθέδρας Αἰγυπτίων τοῖς πρεσβυτέροις, καὶ ταῦτα παῖς ὢν τοῦ τὴν μεγάλην ἀρχὴν ἄρχοντος [12]). Παρῆν δὲ αὐτῷ καὶ αἰδὼς ἡλίκων, καὶ ἐν τῇ φύσει μάλιςα τὸ ἀνθρώπων ἐπιμελεῖσθαι· [C] ὥςτε ἐν ἐκείνῳ τῆς ἡλικίας ὄντος [13]) ἔργον ἦν Αἰγύπτιον εὑρεῖν ἄνθρωπον, ᾧ μὴ ἔν γέ τι ἀγαθὸν παρὰ τοῦ πατρὸς ἐπεπόριςο τὸ μειράκιον. Ὁ δὲ πρεσβύτερος [14]), ὁ Τυφὼς, ἐνὶ λόγῳ, πάντα ἐπαρίςερος. Σοφίαν μὲν δὴ πᾶσαν [15]), ὅση τε Αἰγυπτία, καὶ ὅσης ὑπερορίου διδασκάλους ὁ βασιλεὺς Ὀσίριδι τῷ παιδὶ παρεςήσατο, ἀπεςυγήκει τε [16]) ὅλῃ γνώμῃ, καὶ κατεγέλα τοῦ πράγματος, ὡς ἀργοῦ τε καὶ δουλοῦντος τὰς γνώμας [17])· ὁρῶν δὲ [18]) τὸν ἀδελφὸν φοιτῶντά [19]) τε [D] ἐν τάξει, καὶ αἰδοῖ συζῶντα, τοῦτο δὲ [20]) ᾤετο φόβον εἶναι, δι' ὃ [21]) οὔτε πὺξ παίοντά τις εἶδεν, οὔτε λὰξ ἐναλ-

10. ἐπ' ἄλλῳ τῳ Monacc. omnes et Vind. ἐπ' ἄλλό τῳ Par. A. ἐπ' ἄλλο τῷ Par. B.

11. καὶ om. Mon. D. Tum ἐρυθαινόμενον pro ἐρυθραινόμενον recepimus e Pariss. ABD. Mon. BCD. Barb. Rehd.

12. ἄρχοντος, superscr. ἢ ἔχοντος, Mon. B. ἔχοντος Par. A. Mon. A. Vat. Pirckh.

13. ὄντος om. Par. AC. Mon. A. Vat. Pirckh. Vind.

14. πρεσβύτερον Mon. D. Dein ὁ τυφῶς Mon. BCD. Mox ἐπαριςερὸς Par. AB.

15. Ita Codd. omnes, σοφίας — πάσῃ vulg. Pro ὅσῃ ὑπερόριος, quod exhibent Edd. Turn. et Petav. 1. 2., e Codd. omnibus dedi ὅσης ὑπερορίου, quod in Rehd. ex altera lectione restitutum est; ὅσης ὑπερορίους διδασκάλων aut ὅσῃ ὑπερόριος, καὶ ὅσης ὑπερορίους διδασκάλων coni. Rudingerus. Mox ὀσιρίδι Mon. A.

16. Ita quattuor Pariss. Monacc. Pirckh. Rehd. Vind. Silet Vat.; δὲ vulg. Post τοῦ πράγματος delevimus ineptum illud ὁ Τυφώς, quod solus Rehd. cum Edd. Turn. et Petavv. agnoscit.

17. τὰς γνώμας (superscr. τὴν … ην) Mon. D. τὴν γνώμην Mon. A. Par. C. Vat. Pirckh. Vind.

18. Partic. δὲ om. Par. B. Barb. Mon. BCD.; habet ab alt. m. Mon. A. et inter vers. a s. m. Rehd.

19. φοιτητὰς Ed. Turn. Mox καὶ om. Laur.

20. τοῦδε, το a s. m. superscripto, Mon. A.

21. δι' ὃν quattuor Pariss, Laur. Barb. Vat. Mon. BC. Pirckh.

λόμενον, οὔτε δρόμον θέοντα ἄκοσμον, καὶ ταῦτα κοῦ-
φόν τε ὄντα [22]), καὶ περιεπτισμένον, καὶ ἐλαφρὸν τῇ
ψυχῇ φορτίον τὸ σῶμα περικείμενον. Ἀλλ' οὐδὲ χαν-
δόν ποτε Ὄσιρις ἔπιεν, οὔτε ἐξεκάγχασεν [23]), ὡς εἶναι
τὸν γέλωτα βρασμὸν ὅλου τοῦ σώματος, ἅπερ Τυφὼς [24])
ἕδρα τε ὀσημέραι, καὶ μόνα ἔργα ἐλευθέρων ᾤετο,
ποιεῖν ὅ τι τις τύχοι [25]) καὶ βούλοιτο· ἐῴκει δὲ οὔτε 91 A
τῷ γένει τὴν φύσιν, οὐδ' ὅλως [26]) ἀνθρώπων τινὶ,
καὶ καθάπαξ εἰπεῖν, οὐδ' αὐτὸς ἦν αὐτῷ [27]) παραπλή-
σιος, ἀλλὰ παντοδαπόν τι [28]) κακόν· νῦν μὲν ἂν ἔδο-
ξεν εἶναι νωθὴς [29]) τε καὶ ἐτώσιον ἄχθος ἀρούρης, το-
σαῦτα ἀφ' ὕπνου γινόμενος [30]), ὅσα γαστρίζεσθαι, καὶ
ἄλλα ἐναποτίθεσθαι τοῦ καθεύδειν ἐφόδια· νῦν δὲ καὶ
τὰ μέτρια ἀμελῶν τῶν ἀναγκαίων τῇ φύσει, ἐφ' οἷς [31])
σκιρτᾶν τε ἄμουσα, καὶ παρέχειν πράγματα καὶ ἥλιξι
καὶ ὑπερήλιξιν. Ἐθαύμαζέ [32]) τε γὰρ ἰσχὺν σώματος,
ὡς τελεώτατον ἀγαθὸν, καὶ ἐχρῆτο κακῶς, θύρας τε B
ἀπαράττων [33]), καὶ βώλοις βάλλων, καὶ εἴ τῳ τραῦμα
ἦν, ἢ [34]) κακὸν ἄλλο ἐργάσοιτο, χαίρων, ὡς ἐπὶ μαρ-

in Mon. A ν (ô superscr.) abrasum. δι' ὃν (sic) Mon. D. διὸ a s. m. Rehd. Tum οὐ νὺξ (τε superscr.) a m. pr. Rehd. et οἶδεν pro εἶδεν Mon. A.

22. ὄντα om. Par. A. Mox φορτίου Pirckh.

23. ἐξεκάκχασεν Par. AD. Laur. Mon. BC. Litteram κ pro γ per ras. habet Laur. ἐξεκκάχασεν scribunt Par. B. et Barb.

24. τυφῶς Mon. BCD.

25. τύχῃ Vat.

26. οὐδέλως Mon. BCD. Dein ἀνθρώπωι τινι Par. A. Seq. καὶ om. Pirckh.

27. Ita a s. m. Rehd. αὐτῷ Par. B. Mon. BCD. Vind. Duplicem habet spiritum Par. A.

28. τινα Pirckh.

29. νοθὴς Barb.

30. Scribendum videtur ἀφ' ὕπνου. Pro γινόμενος est γενόμενος in Par. A. Eadem lectio a s. m. mutata est in γιν. in Mon. A et Rehd.

31. ἐφ' ὧν Par. A. Dein σκιρτῶν a m. pr., a s. σκιρτᾶν Barb.

32. ἐθαύμαζεν Mon. BC.

33. Ita quattuor Pariss. Monacc. omnes, Barb. Vat. Vind. ἀπαράσσων Pirckh. ἀπαῤῥάττων vulg. Dein Pirckh. βόλοις, pro quo βολοὺς (sic) in mentem venit Rudingero.

34. Sic unus Par. D.; εἰ Codd. rell. c. Edd. Vertunt etiam Ru-

τυρίᾳ τῆς ἀρετῆς· ὤργα τε ἄωρα, καὶ βιαιότατος ἦν ἐπιθέσθαι μίξεσι· καὶ δὴ καὶ φθόνος μὲν αὐτῷ πρὸς τὸν ἀδελφὸν ὑπετύφετο [35]), μῖσος δὲ πρὸς Αἰγυπτίους, ὅτι οἱ μὲν, ὁ λεὼς [36]), ἐθαύμαζον Ὄσιριν καὶ ἐν λόγοις καὶ ἐν ᾠδαῖς [37]), καὶ οἴκοι καὶ ἐπὶ τῶν κοινῶν ἱερῶν ἀγαθὰ αὐτῷ πάντα πανταχοῦ πάντες παρὰ τῶν θεῶν ᾔτουν· ὁ δέ τοι [38]) ἦν τε καὶ ἐδόκει τοιοῦτος. Ταῦτ' ἄρα ὁ Τυφὼς καὶ ἑταιρικόν τι συνεστήσατο παίδων ἀφρόνων ἐπ' ἄλλο μὲν οὐδέν [39])· οὐδένα γὰρ C ἐπεφύκει φιλεῖν ἀπὸ γνώμης· ἀλλ' ἵν' [40]) εἶέν τινες αὐτῷ στασιῶται, μὴ φρονοῦντες τὰ Ὀσίριδος. Ἦν δὲ ἅπαντι ῥᾴδιον ὠνήσασθαι [41]) τὴν γνώμην αὐτοῦ, καὶ εὑρέσθαι τι παρὰ Τυφῶνος, ὧν δέονται παῖδες, εἰ μόνον ψιθυρίσειέ τι [42]) τῶν φερόντων εἰς λοιδορίαν Ὀσίριδος. Παιδόθεν μὲν [43]) οὖν οὕτως ἡ φύσις αὐτοῖν τὴν διαφορὰν τῶν βίων ὑπέσχετο.

dingerus, Cornarius et Petavius *aut.* Tum ἐργάσητο Barb. Paullo
α
post ματυρίῳ Mon. BC.

35. *δὴ καὶ φθόνος — — — ὑπετύφετο*] Desunt haec in Barb.; item *καὶ* ante *φθόνος* in Laur. *Μῖσος* in *μίσος* a pr. m. corruptum est in Rehd.

36. *οἱ μὲν, ὁ λεώς*] *ὁ μὲν λεὼς* Par. D. Quae inter *μὲν* et *ἐν λόγ.* habentur, omnia desunt in Laur.

37. *καὶ ἐν λόγοις καὶ ἐν ᾠδαῖς*] Omittitur prius *καὶ* in Par. AC. Vat. Pirckh., utrumque in Mon. A et Vind. Mox *οἴκοι* ex *οἴκοις* correctum videtur in Mon. A.

38. *ὁ δέ τοι* Rehd. *ὃ δ' ἔτι* Par. ACD. et a s. m. Mon. A. *ὃ δ' ἔτι* Par. B. Vat. Mon. BCD. Vind. *τοι* om. Laur.

39. *ἐπ' ἄλλῳ μὲν οὐδὲν* (sic) Rehd. c. Ed. Turn. *ἐπ' ἄλλῳ — οὐδενὶ* correxit *H. Wolfius.*

40. *ἵ*, in m. *ἵν'* Mon. C. Mox *φρονοῦντος* Par. B. et Barb.

41. *ἐωνήσασθαι* Par. ABD. Laur. Barb. Vat. Mon. BC. Pirckh. Rehd. *ἐωνήσασθαι*, superscr. *ἐωνῆσθαι*, Mon. D. *ἐωνῆσθαι* Mon. A. (e corr.) et Vind.

42. *ψιθυρήσει ἔτι* Barb.

43. *νέῳ μὲν* Barb. Mox *ὑπέσχετο* Par. AC. Mon. A. Pirckh.
ε
Vind. *ὑπίσχετο* Vat.

3.

Ὥσπερ δὲ ὁδῶν ἡ πρώτη σχίζα κατὰ βραχὺ διεστῶσα [1]), προϊοῦσα πλέον ἀεί τι ποιεῖ, καὶ τελευτῶσαι καταντῶσιν εἰς πλεῖστον τὸ ἀντικείμενον, οὕτως ἴδοι τις ἂν καὶ ἐπὶ τῶν νέων γινόμενον, καὶ τὸ σμικρὸν [2]) D εἰς διαφορὰν πλεῖστον ἀφίστησι προϊόντας. Οἱ δὲ οὐδὲ κατὰ μικρὸν, ἀλλ' αὐτίκα τὴν ἐναντίαν ἐτράποντο, ἀρετὴν καὶ κακίαν τελείαν ἑκάτερος διαλαχόντες. Ἐπιδιδόντων οὖν συνεπεδίδου καὶ τὸ ἀντίξουν τῶν προαιρέσεων [3]), καὶ ἀριδηλότερα τὰ τεκμήρια παρειχέσθην, ἔργοις ἐνσημαινόμενα. Ὄσιρις μὲν οὖν [4]) εὐθὺς ἀφ' ἥβης συνεστρατήγει τοῖς ἀποδεδειγμένοις, οὔπω μὲν ὅπλα διδόντος τοῖς τηλικοῖσδε τοῦ νόμου· γνώμης δὲ ἄρχων, 92 A οἱονεὶ νοῦς ὢν, καὶ τοῖς στρατηγοῖς χερσὶ [5]) χρώμενος. Κᾆτα, ὥσπερ φυτοῦ τῆς φύσεως αὐξανομένης, ἐξέφερε καρπόν τινα ἀεὶ τελειότερον [6])· ἐπιστάτης δὲ δορυφόρων γενόμενος, καὶ τὰς ἀκοὰς πιστευθεὶς, καὶ πολιαρχήσας [7]), καὶ βουλῆς ἄρξας, ἑκάστην ἀρχὴν ἀπεδίδου [8]) παρὰ πολὺ σεμνοτέραν, ἢ παρελάμβανεν. Ὁ δὲ ταμίας τε χρημάτων ἀποδειχθεὶς [9])· ἐδέδοκτο γὰρ τῷ πατρὶ τῆς φύσεως ἀποπειρᾶσθαι τῶν παίδων ἐν ἐλάττοσιν ὑποθέσεσιν· ᾔσχυνεν ἑαυτόν τε καὶ τὸν ἑλόμενον, κλοπῆς τε

Cap. III. 1. διεστᾶσα quattuor Pariss. Monaco. omnes, Barb. Vat. Pirckh. Rehd. Vind. διαστᾶσα Laur. — προϊοῦσα superscriptum habet Par. D.

2. μικρὸν Vind. Paullo post κακίαν ἑκάτερος τελείαν (superscr. β α) a pr. m. Vind.

3. τῆς προαιρέσεως Par. AC. Mon. A. Vat. Pirckh. Vind.

4. οὖν abest a Par. A. Dein ἀφ' ἥβης εὐθὺς Par. D.

5. χειρὶ Par. AC. Laur. Mon. A. Vat. Pirckh. Vind.

6. τελεώτερον Laur. Deinceps ἐπιστάτην Vind.

7. πολυαρχήσας Par. C. Mon. A. Barb. Vat. Pirckh. Rehd. c. Ed. Turn. Reliqui Mss. recte πολιαρχήσας, quod Rudingerus conieceral, et Petavius ex antiquo Codice restituit.

8. ἐδίδου Par. A. Tum παραπολὺ Mon. A. Vat. Vind. et a s. m. Rehd. Dein σεμνοτέροις errore ex compendio σ (i. e. οις) enato.

9. ἀναδειχθεὶς Par. C. Mon. A. Vat. Pirckh. Vind.

δημοσίων ἁλοὺς, καὶ δωροδοκίας [10]) καὶ ἐμπληξίας εἰς τὴν διοίκησιν. Μετατεθεὶς δὲ [11]) καὶ εἰς ἕτερον εἶδος ἀρχῆς, μή ποτε ἄρα καὶ ἐναρμόσειεν [12]), ὁ δὲ αἴσχιον B ἔπραξε, καὶ χρηστῆς βασιλείας ἐκεῖνο [13]) τὸ μέρος τῆς ἀρχῆς, ᾧ Τυφὼς ἐπεστάτησεν, ἐνιαυτὸν ὅλον ἀποφράδα [14]) ἤγαγεν. Ἐπ' ἄλλους ἀνθρώπους [15]) ᾔει, καὶ τὸ οἰμώζειν ἐπ' ἐκείνους μετῄει. Τοιοῦτος Τυφὼς ἄρχειν [16]) ἀνθρώπων. Ἰδίᾳ μὲν ἐκορδάκισεν, Αἰγυπτίων δὲ [17]) ὅστις ἀκοσμότατος καὶ ξένων, συνειλοχὼς [18]) τοὺς πάντα ῥᾳδίους εἰπεῖν τε καὶ ἀκοῦσαι, καὶ παθεῖν [19]) καὶ ποιῆσαι, ὡς εἶναι τὸ ἑστιατόριον [20]) παντοδαπῆς ἀκολασίας ἐργαστήριον· καὶ ἐγρηγορὼς αὐτός τε ἔρρεγκε [21]), καὶ ἄλλων ἀκούων ἥδετο, μουσικήν τινα θαυμαστὴν τὸ C πρᾶγμα ἡγούμενος, ἔπαινοί τε καὶ τιμαὶ τῷ παρατείνοντι τὸν ἀκόλαστον ἦχον, καὶ τῷ μᾶλλον στρογγύλλοντι [22]). Εἷς δέ τις αὐτῶν, ὁ μάλιστα ἀνδρειότατος, ἀπηρυθρίασε πρὸς ἅπαν, καὶ μηδὲν τῶν ἐπονειδίστων ὀκνήσας, ἀριστείων τε ἄλλων [23]) πολλῶν ἐτύγχανε [24]),

10. δωροδοχίας Vat. Tum διήκησιν Barb.

11. δὲ a r. m. habet Mon. A.

12. ἐναρμόσειεν (ο supra) Barb. Dein ἔπραξεν id.

13. ἐκείνω (sic) id.

14. ἀποφράδας Par. A et Laur.

15. ἀνθρώπους om. Mon. BC. Pro ᾔει, quod Rehd. a r. m. habet, male scribitur εἴη in Mon. BCD.

16. ἄρχϊ (sic) Barb.

17. Ita Codd. Pariss. Monacc. Vat. Rehd. Vind. τε vulg. Dein ὥς τις Barb. Vacuum inter ἀκοσμο et ξένων in Mon. A relictum s. m. explevit.

18. συνειληχὼς Par. A. Mon. BC, et Petav. in m. Mox ῥᾳδίως Par. AD. Ita et Rehd.; mutatum tamen a pr. m. ω in ου.

19. παθεῖν τε καὶ π. Par. D.

20. ἑστιατόρειον Par. A. et Mon. BC. Prior tamen in m. γρ. καὶ ἑστιατόριον.

21. τε om. Barb. Tum ἔρεγκεν idem c. Par. AB. ἔρεγκε Laur. et Mon. BCD. ἔρεγγε Par. CD. Mon. A. Vat. Pirckh. ἔρεγκε (ρ supra) (sic a pr. m.); sed ε finale partim a s. m. scriptum; ἔῤῥεγχε Petav. 2. Mox ἀκουσίων ἥδετο (sic) Barb.

22. στρογγύλοντι Laur. Par. B. Mon. A. Barb. Vind. Sed vid. *Bast.* Append. ad Epist. crit. p. 18.

23. Supplevimus verba τε ἄλλων ex libris Par. ACD. Laur. Mon. ABCD. Vat. Pirckh. Vind. Eadem int. v. habet Par. D.

24. ἐτύγχανεν Barb. Deinceps

καὶ ἀρχαί τινες ὑπῆρξαν αὐτῷ μισθὸς αἰσχρᾶς παῤῥησίας. Ὁ Τυφὼς [25]) οἴκοι μὲν δὴ τοιοῦτος.

4.

Ἐπειδὴ δὲ ἐν τῷ σχήματι τοῦ τὰ κοινὰ πράττειν καθίζοιτο, διεδείκνυ σαφῶς ὅτι παντοδαπὸν ἡ κακία. Καὶ D γὰρ πρὸς ἀρετὴν, καὶ πρὸς ἑαυτὴν ϛασιάζει, καὶ μερίδες αὐτῆς ἄμφω τὰ ἀντικείμενα. Ὁ γέ τοι χαῦνος εὐθὺς ἐμεμήνει [1]), καὶ σκληρότερον ὑλακτῶν Ἠπειρώτου κυνὸς, συμφορὰν προσετρίβετο, τὴν μὲν ἰδιώτῃ, τὴν δὲ οἰκίᾳ, τὴν δὲ ὁλοκλήρῳ πόλει, καὶ ἐγάνυτό γε [2]) μεῖζον κακὸν ἐργασάμενος, ὡς τὴν ἀδοξίαν τῆς οἴκοι ῥᾳθυμίας δακρύοις ἀνθρώπων ἀπονιπτόμενος. Ἓν 93 A ἄν τις ὤνατο τοῦ κακοῦ· [3]) πολλάκις γὰρ ὢν πρὸς αὐτῷ δὴ τῷ δρᾶσαι [4]) δεινὸν, ἢ παρενεχθεὶς τὴν γνώμην, εἰς ἀλλοκότους ὑπονοίας ἐξέπιπτεν, ὥϛε ἐοικέναι τοῖς νυμφολήπτοις, περὶ τῆς ἐν Δελφοῖς σκιᾶς ἐῤῥωμένως [5]) διατεινόμενος· ἐν τούτῳ δὲ ὁ κινδυνεύων [6]) ἐσώζετο, περὶ οὗ μηδεὶς ἔτι λόγος ἐγίνετο· ἢ ληθάργῳ [7]) συνείχετο, καὶ καρηβαρὴς ἦν ἐπὶ χρόνον τινὰ, ὥϛε ἀπεῖναι

ἀρχάς τινας ὑπῆρξεν — μισθὸν Laur. Par. BD. et Barb. Ita etiam Rehd. a m. pr.; a s. vero correctum ἀρχαί τινες ὑπῆρξαν, relicto μισθὸν, quod in ordine habet etiam Turn.; emendatum tamen in erratorum indice μισθός.

25. Σ in nomine Τυφὼς a s. m. habet Rehd. In seqq. μὲν om. Vind. δὴ abest a Mon. ABCD. Par. C. Vat. et Pirckh.; utraque autem particula a Par. A et Laur.

Cap. IV. 1. ἐμεμήνει Mon. AB et Vind.

2. Ita Par. AB et Laur. ἐγάνυτό γε rell. c. Edd. τι pro γε Mon. D. et Vind. Proxime ὡς ab al. m. habet Mon. A.

3. τούτου pro τοῦ κακοῦ Par. AC. Laur. quattuor Monacc. Vat. Pirckh. Vind.; γρ. τούτου Par. in m., τούτου ab al. m. int. v. habet Rehd.

4. πρὸς αὐτὸ — τὸ δράσαι Par. AB. Laur. Barb. Cf. Orat. de Regn. Cap. XXI. not. 32. — δράσαι etiam rell. cum editis. Dein κακὸν pro δεινὸν Laur.

5. ἐρρωμένος Par. B. c. Barb.

6. ὁ κινδυνεύσων Pirckh.

7. ληθάργῳ Par. AB. et Barb. Mox καριβαρὴς Par. B. Barb. Petav. 1. ἦν abest a Mon. BC.

τῶν ἐν οἷς [8]) εἴη τὸν νοῦν. Εἶτα ἀγείραντος [9]) ἑαυτόν, ἐῤῥυήκει [10]) μὲν καὶ ὡς ἡ μνήμη τῶν ἔναγχος· ὁ δὲ ἐζυγομάχει πρὸς τοὺς ἐπὶ τῶν διοικήσεων περὶ τοῦ πόσους ὁ μέδιμνος ἔχει πυρούς, καὶ πόσους κυάθους ὁ B
χοῦς, περιττήν τινα καὶ ἄτοπον ἀγχίνοιαν ἐνδεικνύμενος [11]). Ἤδη δέ ποτε [12]) καὶ ὕπνος ἀφείλετο συμφορᾶς ἄνθρωπον, ἐπιπεσὼν Τυφῶνι μάλα εὐκαίρως, καὶ κατὰ τῆς καθέδρας ἦν ἂν [13]) ἐπὶ κεφαλὴν ὤσας, εἰ μή τις ὑπηρέτης μεθεὶς τὴν λαμπάδα ὑπήρειδεν. Οὕτω πολλάκις τραγικὴ [14]) παννυχὶς εἰς κωμῳδίαν ἀπετελεύτησε. Καὶ γὰρ οὐδὲ ἐχρημάτιζεν ἐν ἡμέρᾳ, ἅτε ἡλίῳ καὶ φωτὶ φύσις [15]) ἀντίξους, καὶ σκότῳ προσήκουσα. Σαφῶς δὲ εἰδώς, ὅτι πᾶς, ὅτῳ καὶ σμικρόν τι φρονήσεως μέτεστι, C
κατέγνωκεν αὐτοῦ τὴν ἀκριβεστάτην ἀμαθίαν, ὁ δὲ οὐχ ἑαυτὸν ᾐτιᾶτο τῆς ἀτοπίας, ἀλλὰ διὰ τοῦτο κοινὸς ἦν ἐχθρὸς τῶν νοῦν ἐχόντων, ὡς ἀδικούντων, ὅτι κρίνειν ἐπίστανται, βουλεῦσαι μὲν ἄπορος, ἐπιβουλεῦσαι δὲ ποριμώτατος. Ἄνοια καὶ ἀπόνοια συνήστην [16]) αὐτῷ, κῆρες ψυχῆς ὑπ' ἀλλήλων ῥωννύμεναι, ὧν ἄλλα κακα

8. ἐφ' οἷς elegantius et verius putat *Bevingius* in novis Annalibus philologg. et paedagogg. curantibus *Jahnio*, *Seebodio* et *Klotzio* Tom. suppl. I. p. 620.

9. ἀγείροντος Pirckh. ἐγείραντος Mon. BC.

10. ἐρρήκει Par. AB. Laur. et Barb. Deinceps μὲν om. Mon. BCD. Artic. ante μνήμη, quem in Mon. A r. m. inseruit, abest a Par. C. Mon. BC. Vat. Pirckh. Ad verba τῶν ἔναγχος gl. τῶν πρὸ ὀλίγου in marg. habet Rehd.

11. Ita Codd. omnes, ἐπιδ. Edd.

12. ἤδη δὲ καί ποτε Par. AC quattuor Monacc. Pirckh. Vind. Rudingero magis consentaneum videbatur esse δή, quam δέ. Partic. καὶ om. Vat.

13. ἦν, quod Par. B in marg. habet, abest a Par. AC. Barb. Vat. Pirckh. Vind. Mon. D. Desunt voculae ἦν ἂν in Mon. BC. Defuerant item in Mon. A, in quo tamen r. m. ἂν restituit; ἂν ἦ scribit Laur.

14. τραγικὴ e στρατηγικὴ correctum est in Rehd. Dein ἀπετελεύτησεν Par. AB. et Barb.

15. φύσιν Vind.

16. σύνεστιν Pirckh. Deinceps αὐτῆς Vind. Mox pro ἀπ' ἀλλήλων dedimus ὑπ' ἀλλήλων praeeuntibus libris Par. ABCD. Laur. quattuor Monacc. Vat. Pirckh.

μείζω καὶ προχειρότερα γένος ἀνθρώπων ἐκτρῖψαι [17]) οὔτε ἔςιν, οὔτε μή ποτε ἐν τῇ φύσει γένηται.

5.

Ταῦτα ἕκαςα ὁ πατὴρ ἑώρα τε καὶ ξυνίει, καὶ D
Αἰγυπτίων προὐκήδετο [1])· βασιλεὺς γὰρ ἦν, καὶ ἱερεὺς [2]) καὶ σοφός· Αἰγύπτιοι [δὲ] λόγοι φασὶν, ὅτι καὶ θεός· οὐ γὰρ ἀπισοῦσιν Αἰγύπτιοι μυρίους καθ' ἕνα [3]) θεοὺς αὐτῶν βασιλεῦσαι, πρὶν ὑπ' ἀνθρώπων ἀρχθῆναι [4]) τὴν χώραν καὶ γενεαλογηθῆναι τοὺς βασιλέας, Πείρωμιν ἐκ Πειρώμιδος. Ἐπειδὴ οὖν μεθίςασαν αὐτὸν [5]) θεῖοι νόμοι παρὰ τοὺς μείζους θεοὺς, καὶ παρῆν ἡ κυρία, συνειλέχατο μὲν εἰς αὐτὴν, πάλαι προηγορευμένον, ἐξ ἁπάσης πόλεως Αἰγυπτίας ἱερέων τε ὅσαι φρῆτραι [6]), 94 A
καὶ τὸ ςρατιωτικὸν τὸ αὐτόχθον· οὗτοι μὲν ὑπ' ἀνάγκης τοῦ νόμου· τὰ δὲ ἄλλα μέρη τῶν δήμων ἐξῆν μὲν [7])

17. ἐκτρίψαι et Codd. et Edd. Dein ἔςιν recte Mon. A. pro vulg. ἐςὶν, quod Codd. rell. agnoscunt. Mox γένηται Mon. D. γίνοιτο Mon. A. Vat. Par. C. Pirckh.

Cap. V. 1. προυκήδετο Rehd.

2. ἱερὸς Mon. BCD. In seqq. δὲ om. Par. ABCD. Laur. Barb. quattuor Monacc. Pirckh. Vind. Iccirco seclusimus. In Rehd. superscriptum est.

3. καθένα Mon. BCD.

4. ἀχθῆναι quattuor Pariss. Monacc. omnes, item Barb. Pirckh. Rehd. Vind. Sed ρ superscriptum habet Par. C. Deinceps pro vulg. τὴν γῆν scripsimus τὴν χώραν auctoribus libris Par. ABC. quattuor Monacc. Barb. Pirckh. Vind. Vid. *Drumann.* histor. — antiq. Untersuchungen über Aegypten p. 57. Cf. infr. I. 15. p. 108. D. 110. D. et I. 16. p. 111. A. τὴν γῆν s. m. supplevit in Rehd. Pro τοὺς βασιλέας legitur τὰς βασιλείας in Codd. omnibus, excepto Rehd. Tum πείρωμην ἐκ πειρώμηδος Barb.

5. αὐτῶν Par. B. et Vind. αὐτοῦ Mon. D. Proxime περὶ τοὺς θεοὺς Mon. BCD. Paullo post συνειλήχατο Mon. D. συνειλήχατο Par. ABD. Laur. Mon. BC. Συνειλέχατο correctoris manui debent Mon. A et Rehd.

6. Prius ρ erasum in Mon. A. φρῆτραι (sic) habet Mon. D. φῆτραι dant Vat. Par. D. et Rehd. φίτραι Par. B. et Barb.

7. μὲν om. Par. A. Dein ἀπῆναι scribunt Mon. BCD.

ἀπεῖναι, παρεῖναι δὲ οὐδεὶς εἴργετο, θεασόμενοι τὴν χειροτονίαν, οὐκ αὐτοὶ χειροτονήσοντες [8]). Συφορβοὶ [9]) δὲ εἴργοντο καὶ τῆς θέας, καὶ ὅςτις αὐτὸς ἢ γένος ἀλλόφυλος ὢν ὁπλοφορεῖ μισθωτὸς Αἰγυπτίοις, καὶ τούτοις ἀπείρητο μὴ παρεῖναι. Ταύτῃ καὶ παρὰ πλεῖσον [10]) ἔλαττον ἔσχεν ὁ πρεσβύτερος τῶν υἱέων. Συφορβοί τε γὰρ ἦσαν καὶ ἀλλόφυλοι [11]) τὸ ςασιωτικὸν B τοῦ Τυφῶνος, δῆμος ἀπόπληκτος καὶ πολύς· ἀλλ' εἴκων ἔθει, καὶ οὐδὲ ἀναπειρώμενος, οὐδὲ δεινὸν τὴν ἀτιμίαν [12]), ἀλλὰ προσῆκον ἡγούμενος, ἅτε νόμῳ καταδεδικασμένην [13]), καὶ φύσιν οὖσαν ἤδη τοῖς γένεσι [14]).

6.

Καθίςαται δὲ Αἰγυπτίοις ὁ βασιλεὺς τρόπῳ τοιῷδε. Ἱερὸν ὄρος ἐςὶ παρὰ τὴν μεγάλην πόλιν [1]) τὰς Θήβας, καὶ ὄρος ἄλλο καταντικρύ· μέσον ἀμφοῖν τὸ ῥεῦμα τοῦ Νείλου. Τῶν ὀρῶν τοῦτο μὲν τὸ καταντι-

8. χειροτονήσαντες Rehd.

9. σύμφορβοι et hic et infra Pirckh. Ante τῆς θέας partic. καὶ om. quattuor Monacc. Vat. Par. C. Pirckh. Vind. Paullo post ἢ abest a Mon. BC. In marg. librorum Par. C. Vat. et Vind. legitur haec annotatio: Οὐκ ἔςι τὸ ἢ περισσόν, ἀλλὰ νοεῖται κατὰ κοινοῦ τὸ συφορβός, ἵν' ᾖ οὕτως ὁ λόγος· καὶ ὅστις αὐτὸς συφορβὸς ἢ γένος ἀλλόφυλος ὤν.

10. περὶ πλ. Mon. BCD. περιπλ. Vat. et Pirckh.

11. ἀλλόφυλον Par. B. Dein τὸ γασιωτικὸν Par. BD. Barb. Pirckh. Rehd. et Vat. c. Edd. Petavv. τὸ ςρατιωτικὸν Par. A. (γρ. γασιωτικὸν) τὸ ςρατιωτικὸν (γασιωτικὸν) Mon. B. τὸ ςρατ., in marg. γρ. τὸ γασ. Vat. τὸ ςρατ., in marg. τὸ γασ. Par. C. et Mon. CD. γασιαςικὸν Laur. ςρατιωτικὸν Ed. Turn.

12. ἀκυρίαν (ἀτιμίαν) Par. A. ἀκυρίαν quattuor Monacc. Par. C. Pirckh. Vind. ἀπειρίαν ex εὐπειρίαν (ita Vat.) correctum videtur in Vind. Supra ἀτιμίαν rasuram habet Rehd.

13. καταδεδικασμένη Vind.

14. Ita Par. ACD. (et procul dubio etiam Par. B), quattuor Monacc. Barb. Rehd. γένεσιν rell. c. editis.

Cap. VI. 1. περὶ pro παρὰ Monacc. omnes et Vind. πόλην Mon. D. Vind. (a pr. m.) et 2. Ed. Petav. Mox κατ' ἀντικρὺ Par. A. Monacc. omnes et Vind. Sic prius etiam Rehd. Deinde καὶ μέσον Mon. AD et Vind.

κρὺ [2]) Λιβυκὸν, καὶ ἐν αὐτῷ δίαιταν ἔχειν [3]) νόμος τῆς παρασκευῆς τὸν χρόνον τοὺς ὑποψήφους τῇ βασιλείᾳ [4]), τοῦ μηδὲν ἐπαισθάνεσθαι τῆς αἱρέσεως· τὸ δὲ ἱερὸν [τὸ] Αἰγύπτιον [5]). Σκηνὴ μὲν ἐπ' ἄκρου [6]) C τῷ βασιλεῖ, καὶ παρ' αὐτὸν ὅσοι τῶν ἱερέων τὴν μεγάλην σοφίαν σοφοὶ, καὶ πρόεισιν ἡ τάξις εἰς ἅπαν τὸ ἀριϛεῦον, κατ' ἀξίαν τῶν τελετῶν τὰς χώρας μερίζουσα. Οὗτοι μὲν ὡς περὶ καρδίαν, τὸν βασιλέα κύκλος εἷς [7]) πρῶτος· οἱ δὲ ϛρατιῶται κύκλος ἄλλος ἔχεται [8]) τούτου. Καὶ οὗτοι μὲν ἔτι περὶ τὸν ὄχθον, ὃς ἐπὶ τοῦ διατείνοντος ὄρους ὄρος ἐϛὶν ἄλλο, καθάπερ μασθὸς [9]) ἀνιϛάμενος, ἐν ἀπόπτῳ τὸν βασιλέα παρέχων καὶ τοῖς διὰ πλείϛου περιεϛῶσι. Περιεϛᾶσι [10]) δὲ τοῦ μασθοῦ τὴν ὑπώρειαν καταλαμβάνοντες, D ὅσοις ἔξεϛιν [11]) ἐπὶ τῇ θέᾳ παρεῖναι. Οὗτοι μὲν μόνον ἐπευφημοῦντες οἷς ἂν ἐπαισθάνωνται [12])· οἱ δὲ τὸ κῦρος [13]) ἔχοντες τῆς αἱρέσεως. Ἐπειδὰν ἐπιθειάσηται [14]) βασιλεὺς, καὶ οἷς τοῦτο τὸ ἔργον, ἅπαν [15]) κινήσωσι κωμαϛήριον, ὡς ἂν τοῦ θείου παρόντος τε καὶ τὰ

2. κατ' ἀντικρὺ, ut supra, quattuor Monacc. Rehd. Vind.

3. ἔχει Barb.

4. τῆς βασιλείας Laur. Par. BD. Barb. et Rehd., ut *Thomas M.* p. 375. ed. Ritschel.

5. Articulum ante Αἰγύπτιον recte om. Laur. Iccirco eum cancellis circumscripsimus.

6. ἐπ' ἄκρῳ Mon. BD. Ita primitus fort. etiam Mon. A., quum ultima vocis ἄκρου a s. m. profecta sit; ἐπ' ἄκρα scribit Mon. C.

7. ἦν pro εἷς Pirckh.

8. ἔρχεται id.; τούτου om. Mon. BC.

9. Ita Par. ABC. quattuor Monacc. Barb. Vat. Rehd. Vind. μαϛὸς Par. D. et Pirckh. c. editis.

10. Περιεϛᾶσι excidit in Petav. 1. Dein pro μαϛοῦ receptum μασθοῦ ex Par. ABC. Monacc. omnibus, Barb. Vat. Pirckh. Vind. μασθοῦ Par. D.

11. ἔξεϛι Petav. 1. ἔξεσι (sic) Petav. 2.

12. ἐπαισθάνονται Mon. BCD.

13. Ita Codd. omnes, excepto Rehd., qui a s. m. habet κύρος, quod exstat item in Edd. Turn. et Petav. 1. 2.

14. ἐπιθειάσηται Mon. BCD. ἐπιθιάσηται Par. B. et Barb.

15. Non ante, sed post h. v. distinguit Mon. A.

περὶ τὴν αἵρεσιν[16]) *συμφροντίζοντος, ὀνόματός τινος ἀναδειχθέντος τῶν ὑποψήφων τῇ βασιλείᾳ, ϛρατιῶται μὲν χεῖρας αἴρουσι· κωμαϛαὶ δὲ καὶ ζάκοροι καὶ προφῆται ψηφοφοροῦσι*[17]). *Πλῆθος ἔλαττον τοῦτο· δύναται δὲ παρὰ πολὺ*[18]) *πλεῖϛον· προφητικὴ μὲν γὰρ* 95 A *ψῆφος ἑκατὸν χεῖρές εἰσι*[19])· *κωμαϛικὴ δὲ εἴκοσι, καὶ ὁ ζάκορος δέκα δύναται χεῖρας. Ἕτερον ὄνομα τῶν βασιλικῶν, καὶ ἐπ' αὐτῷ χεῖρες καὶ ψῆφοι. Κἂν μὲν ἀγχώμαλον ᾖ τὸ πλῆθος, βασιλεὺς ἐπιψηφίσας θατέρᾳ μερίδι παρὰ πολὺ*[20]) *μείζω ποιεῖ· τῇ δὲ ἐλάττονι προςνείμας ἑαυτὸν, εἰς ἴσον*[21]) *καθίϛησιν. Ἔνθα ἀναθέσθαι δεῖ τὴν χειροτονίαν, καὶ τῶν θεῶν ἔχεσθαι, προςεδρεύοντάς τε πλείω χρόνον, καὶ ἀπταιϛότερον ἁγιϛεύοντας, ἕως ἂν οὐ διὰ παραπετασμάτων*[22]), *οὐδὲ διὰ τῶν ἑκάϛοτε συνθημάτων, ἀλλ' αὐτοπτηθέντες αὐ-* B *τὸν τὸν*[23]) *βασιλέα ἀναδείξωσι, καὶ ὁ δῆμος αὐτήκοος γένηται τῆς παρὰ τῶν θείων*[24]) *ἀναῤῥήσεως. Ταῦτα μὲν, ὡς ἑκάϛοτε τυγχάνοι*[25]), *νῦν μὲν οὕτως, νῦν δ'*[26]) *ἐκείνως ἐγένετο· ἐπὶ δὲ Τυφῶνός γε καὶ Ὀσίριδος θεοί τε οὐδὲν*[27]) *τῶν ἱερέων πραγματευσαμένων*

16. Ita Codd. omnes, excepto Rehd., qui cum Edd. articulum *τὰ* omittit. Tum *συμφροτίζοντος* Par. B. Mox *ἀποδειχθέντος*, superscr. *ἀναδειχθέντος*, Par. A. *ἀποδ.* quattuor Monacc. Vat. et Pirckh. Vid. *Rudinger.* p. 148. Proxime *τῆς βασιλείας*, ut supra, Laur.

17. *ψηφοφοροῦσι* (o a corr. m. profectis; η η superscr.) Mon. A. *ψηφηφοροῦσι* Mon. BC. Vid. *Lobeck.* ad Phrynich. p. 652.

18. Ita Barb. et Rehd. *παραπολὺ* Codd. rell. c. editis.

19. *εἰσιν* Barb. Mox *εἴκοσιν* Rehd.

20. *παραπολὺ* libri scripti et editi.

21. *εἰς ἶσον* Mon. A et Rehd.

22. *διὰ περιπ.* Mon. BCD.

23. Inter *αὐτὸν* et *τὸν* vacuum est ex rasura relictum in Mon. A.

24. *περὶ* pro *παρὰ* Mon. BCD. *θεῶν* deinceps Par. D et a r. m. Mon. A.

25. *τυγχάνει* Pirckh.

26. *δὲ* Par. ABD et quattuor Monacc. c. Vind. Dein *ἐκείνοις* Petav. 2.

27. *οὐδὲ* Petav. 2.

τὴν πρώτην εὐθὺς ἐναργεῖς [28]) ἑωρῶντο, καὶ ἔταττον ἐφεςῶτες [29]) αὐτοὶ, καὶ διεκόσμουν ἕκαςος τοὺς σφετέρους ὀργιαςὰς, ἅπαντί τε δῆλον ἦν, ἐφ' ᾧ γε [30]) παρείησαν. Καίτοι καὶ μὴ παρόντων ἅπασα χεὶρ, ἅπασα ψῆφος τοῦ νεωτέρου τῶν βασιλικῶν παίδων τοὔνομα περιέμενεν [31]). Ἀλλὰ τὰ μεγάλα δεῦρο μείζοσι C καὶ φροιμίοις προαναδείκνυται, καὶ τὸ θεῖον ἐπισημαίνεται παρὰ τοῖς πολὺ παρὰ τὸ εἰκὸς [32]) ἀποβησομένοις, καὶ λῴοσιν [33]) οὖσι καὶ χείροσιν.

7.

Ὄσιρις μὲν οὖν, ὥςπερ θέμις ἦν, αὐτοῦ κατὰ χώραν ἔμενεν, οὗ [1]) τὴν ἀρχὴν διεβεβίβαςο· ὁ δὲ ἐσφάδαζεν, ἤσχαλλεν [2]) εἰδέναι τὰ περὶ τὴν χειροτονίαν, καὶ τέλος οὐκ ἦν ἐγκρατὴς ἑαυτοῦ, τὸ μὴ οὐκ [3]) ἐπιθέσθαι πείρᾳ καὶ διαφθεῖραι ψήφους. Ἀφειδήσας οὖν ἑαυτοῦ τε καὶ νόμων βασιλικῶν, καὶ ἐφεὶς τῷ ῥεύματι, φερόμενος, νηχόμενος, ἅπαντα ποιῶν [4]) καὶ πάσχων, D καταγέλαςος ὑπὸ τῶν ὁρώντων, καθίςαται πέραν [5]) τοῦ ποταμοῦ· καὶ ᾤετο μὲν λανθάνειν, πλὴν οἷς [6]) προςέλθοι τε καὶ ὑπόσχοιτο χρήματα, ἅπας δέ τις ἠπίςατο, καὶ ἐσύγουν αὐτόν τε καὶ τὴν ἐπίνοιαν. Οὐ μὴν ἐλέγχειν [7]) ἐδόκει φύσιν παράφορον. Ὃ καὶ συμ-

28. ἐναργῶς Pirckh.

29. Ita Codd. omnes, ἀφεςῶτες Edd.

30. ἐφ' ὧν γε Mon. D et Vind. Tum παρῄεσαν Laur.

31. Ita Pariss. Laur. Monacc. Vind. περιέμενε Pirckh. περιέμεινεν rell. c. editis.

32. περὶ τοῖς πολὺ περὶ τὸ εἰκὸς Mon. BCD.

33. λίωσιν, in marg. λῴοσιν Mon. C. λῴοσιν e λίοσιν correctum in Mon. B.

Cap. VII. 1. ῥ a m. pr. habebat Vind. τὴν ἀρχὴν abiit in τηναρχὴν in Rehd. Tum διεβίβατο Pariss. Laur. Monacc. Pirckh. Rehd.

2. ἤσχαλεν Pirckh. et Rehd. Articulum ante v. χειροτονίαν om. Barb.

3. οὐκ abest a Vind.

4. ἅπαντα καὶ ποιῶν Par. D.

5. πέρραν Mon. BC.

6. πλὴν αἷς Par. D. Mox ὑποσχῃ τὸ χρῆμα (sic) Barb. Proxime ἐσύγει Mon. AD. Par. C. et Vind., probante *Boissonadio* ad Eunap. 127.

7. ἐλέγξειν Par. AC. Laur. Monacc. Pirckh. Vind.

βέβηκεν αὐτῷ βαρυσυμφορώτατον· αὐτὸς παρὼν, αὐτὸς ἀκούων, ἁπάσαις γνώμαις [8]) ἀπεψήφισο, ἁπάσαις χερσὶν ἀπικεχειροτόνητο [9])· οἱ θεοὶ δὲ αὐτῷ καὶ ἀρὰν προσέβαλλον [10]). Καὶ ἧκε [11]) μετάπεμπτος Ὄσιρις ὁ μηδὲν πραγματευσάμενος, θεῶν, ἱερέων, ἁπάντων ἁπλῶς 96 A ἅμα σέμμασιν ἱεροῖς, καὶ αὐλοῖς ἱεροῖς [12]) παρὰ τὴν ὄχθην ἀπαντώντων, οὗ τὴν βάριν ἔδει καταῖραι τὴν ἀπὸ τοῦ Λιβυκοῦ μέρους τὸν νέον βασιλέα αναλαμβάνουσαν· ἀπ' οὐρανοῦ τε εὐθὺς σημεῖα μεγάλα, καὶ αὐτόθεν ὀμφαί τε ἀγαθαὶ, καὶ ἅπαν εἶδος, ὑφ' οὗ τὸ μέλλον θηρᾶται, καὶ μεῖον καὶ μεῖζον, τὴν βασιλείαν Αἰγυπτίοις εὐηγγελίζετο [13])· παρ' ὅσον ἐδόκουν οἱ τῆς χείρονος μερίδος δαίμονες οὐκ ἀτρεμήσειν, οὐδ' ἂν πράως ἐνέγκαι τὴν ἀνθρώπων εὐδαιμονίαν, ἀλλ' ἐπιθήσεσθαι καὶ οἰδαίνειν ἐδόκουν [14]). Καὶ ἐπιβουλή τις ἐσημαίνετο.

8.

Ἐπειδὴ οὖν τὴν βασίλειον τελετὴν [1]) ὑπό τε τῶν θεῶν, ὑπό τε τοῦ πατρὸς ἐτετελέωτο [2]), προαγορεύου-

8. γνώμαις om. Mon. BC.

9. ἀπεχειροτόνητο Pariss. Laur. Barb. Mon. BC. ἀπεχειροτόνητον Mon. D. ἀποκεχειροτόνητο Par. C. Mon. A. Vind.; κε a corr. m. habet Mon. A. Syllabae ultimae additum ς in Vind.

10. Ita Pariss. et Monacc. omnes una cum Rehd. et Vind. προσέβαλον Codd. rell. c. editis.

11. ἧκεν Par. A.

12. Verba καὶ αὐλοῖς ἱεροῖς ab ead. m. in marg. habet Barb. Dein περὶ pro παρὰ Mon. BCD et Pirckh. περὶ (α ἀ superscr.) Mon. A et Vind. Utrumque a superscriptum a r. m. in libro Mon., a pr. in Vind. Tum ἀπατώντων Mon. BD. ἀπατώντων Mon. C. ἁπάντων Par. A. Mox κατάραι Par. c. Pirckh.

13. εὐαγγελίζετο Mon. C. Vid. *Lobeck.* ad Phrynich. coll. Nostro infr. II. 2. p. 117. D. Tum παρόσον Mon. A. Rehd. Vind. Mox ἀτρεμήσειεν.

14. Ita Edd., ἐδόκει Codd. omnes.

CAP. VIII. 1. τελευτὴν Mon. D. Verba ὑπό τε τῶν θεῶν vulgo neglecta praebuerunt Codd. omnes.

2. ἐτέλεωτο Laur. ἐτελέωτε Mon. D. ἐτετέλετο Par. D. ἐτελέωντο (τε superscr.) (τε a m. pr., ut videtur, superscripto, ν autem a sec. inserto) Rehd.

σιν αὐτῷ σαφῶς, ἅτε σαφῶς εἰδότες [3]), τὰ μὲν ἄλλα B πάντα, ἰσμοὺς δή τινας ἀγαθῶν, ὅτι δὲ [4]) χρεὼν εἴη τὸν ἀδελφὸν, κακῇ μοίρᾳ καὶ Αἰγυπτίοις καὶ τῇ τοῦ πατρὸς ἑστίᾳ γενόμενον, εἰ μὴ μέλλει [5]) πάντα συγχεῖν, ἐκποδὼν [6]) ποιεῖσθαι, τοῦ μήτε ὁρᾶν, μήτε ἀκούειν τὰς διὰ τὴν Ὀσίριδος αὐτοῦ βασιλείαν εὐημερίας τε [7]) καὶ εὐετηρίας Αἰγύπτου· μηδὲν γὰρ ἀγαθὸν οἰστὸν εἶναι [8]) τῇ φύσει Τυφῶνος· παραδιδόασί τε αὐτῷ τὴν διττὴν τῶν ψυχῶν οὐσίαν, καὶ τὴν ἀναγκαίαν ἀντίθεσιν, ἣν αἱ χαμόθεν ἔχουσι πρὸς τὰς ἄνωθεν. Ταῦτ' ἄρα καθαιρεῖν τε ἠξίουν, καὶ περιτέμνειν τῆς ἀγαθῆς τε καὶ θείας συστοιχίας [9]) φύσιν ἐχθρὰν, μηδὲν C ἐπαισχυνθέντα τὴν ὑπ' ἀνθρώπων ὀνομαζομένην συγγένειαν· μαλακισθέντι δὲ εἶπον, ὅσα χρεὼν [10]) εἶναι παθεῖν αὐτόν τε καὶ Αἰγυπτίους, καὶ περιοίκους, καὶ ὅσης ἦρχον Αἰγύπτιοι· οὐδὲ γὰρ οὐδὲ [11]) ἀφαυρὸν τὸ κακὸν εἶναι, οὐδ' ἂν τὴν τυχοῦσαν ἐπιμέλειαν ἀρκέσαι τὰς ἐμφανεῖς τε αὐτοῦ καὶ λαθραίας ἐπιθέσεις ἀποταφρεῦσαί τε καὶ ἀμενηνῶσαι· παρεῖναι γὰρ αὐτῷ καὶ [12]) προστάτας, χρῆμα ἰσχυρὸν δαιμόνων βασκάνων, ὧν εἶναι D συγγενῆ, καὶ παρ' ὧν εἰς γένεσιν προβεβλῆσθαι, ἵν' ἔχοιεν ὀργάνῳ χρῆσθαι τῆς εἰς ἀνθρώπους κακίας, ἐφ' ἣν ὁδῷ βαδίζοντες καὶ ἐγεννήσαντο, καὶ ἐθρέψαντο,

3. Verba προαγορεύουσιν αὐτῷ σαφῶς, ἅτε σαφῶς εἰδότες interciderunt in Pirckh. σαφῶς[β] αὐτῷ[α] ἅτε[γ] a pr. m. Vind.

4. Ita Codd. omnes, excepto Rehd., in quo, ut in editis, legitur καὶ ὅτι.

5. Ita Mon. A. et Vind. μέλλῃ Mon. D. μέλλοι Codd. rell. c. editis.

6. ἐκποδὼν pro ἐκποδῶν (ἐκ ποδῶν scribit Par. A) receptum e Codd. Monacc. et Rehd.

7. τε, quod omittunt Mon. BC, Mon. A. inter vers. habet.

8. εἶναι[β] οἰστὸν[α] (sic) Vind.

9. συστοιχίαν Par. A.

10. ὅσα abest a Mon. D.

11. Deest novissimum vocabulum in Vind. Articulum ante κακὸν om. Pirckh. Dein pro ἂν τὴν idem αὐτὴν. Proxime e Codd. scripsimus ἀρκέσαι, pro quo ap. Rudingerum est ἀρκέσας, haud scio an errore typothetico; ἀρκέσειν exhibent editi.

12. καὶ om. Rehd. et vulgg. libri. Mox ἰσχυρῶν scribit Par. A.

καὶ ἐμαιώσαντο [13]), καὶ εἰς τὸν οἰκεῖον τρόπον ἐπαιδεύσαντο μέγα αὐτοῖς ἐσόμενον ὄφελος Τυφῶνα. Ἓν ἔτι δεῖν οἴονται πρὸς τὸ πάντα ἀπέχειν [14]), αὐτῷ ἰσχὺν τὴν ἀπὸ τῆς ἀρχῆς περιθεῖναι· οὕτω γὰρ ἔσεσθαι τέλεον [15]) ἐκ τελέων, μεγάλα κακὰ ποιεῖν καὶ βουλόμε- 97 A
νον καὶ δυνάμενον· σὲ δὲ δὴ καὶ στυγοῦσιν [16]), ἔφη τις αὐτῶν, ὡς ἀνθρώπων μὲν κέρδος, σφῶν δὲ ζημίαν· συμφοραὶ γὰρ ἐθνῶν εὐωχία φαύλων δαιμόνων. Αὖθις οὖν καὶ πολλάκις ταῦτα ἐνουθέτουν, τὸν ἀδελφὸν ἀποδιοπομπεῖσθαι καὶ πόῤῥω ποι γῆς ἔῤῥειν [17]), τὸ φύσει πρᾶον Ὀσίριδος εἰδότες τε καὶ ὁρῶντες, ὑφ' οὗ τελευτῶντες εἰπεῖν ἐξεβιάσθησαν, ὅτι χρόνον μέν τινα ἀνθέξει· λήσεται δὲ ἐνδοὺς, καὶ καταπροδοὺς αὐτὸν [18]) καὶ πάντας ἀνθρώπους, ὀνόματος χρηστοῦ φιλαδελφίας ἔργῳ τὰς μεγίστας τῶν συμφορῶν [19]) ἀλλαξάμενος. B

13. Verba καὶ ἐγεννήσαντο — — καὶ ἐμαιώσαντο in marg. habet Barb.

14. ἀπίσχειν Pirckh., ἐπέχειν Mon. C in marg. Distinxi cum Pirckh. et Rehd. ante αὐτῷ, quod in posteriore libro a s. m. correctum est ex αὐτῷ. Post αὐτῷ, ut Edd. Turn. et Petavv., virgulam habebat Mon. A. Eadem distinctionis notula ante pronomen repetita, post vero utraque deleta.

15. τέλεων Petav. 1. 2.

16. στυγοῦσι Vind.

17. ἐρᾶν Par. A. ἐῤῥᾶν Laur. Par. B. Barb. Mon. B. Ita fort. a pr. m. etiam Rehd., in quo nunc legitur ἔῤῥειν; ἐῤῥᾶν, superscripto ἐλᾶν, habet Mon. D. ἐλᾶν, ἐλ in ras. posito, Mon. A. Eadem lectio est in Par. CD. Pirckh. Vind. et in uno Mediceo ap. Petavium, et probatur huic viro doctissimo, quamquam vulgatam non reiicit. Equidem coniectavi εἴργειν, quod in mentem venit etiam Beringio; sed nunc malim ἐρᾷν simplex verbum accipiens pro composito ἀπερᾷν (i. e. ἐκβάλλειν. Vid. *H. Steph.* Thes. L. Gr. col. 3773. sq. ed. Valp. et *Wyttenbach* ad Plut. Opp. Morall. T. II. p. 160. ed. Lips); iungit enim Noster et alibi (cf. de Regn. Cap. XV. p. 15. C. et Cap. XXI. p. 21. D., ubi vid. Annotat.) verbum compositum et simplex, ita, ut praepositio compositi in simplice quoque verbo mente sit repetenda. Quo de usu conf. *Sintenis* ad Plut. vit. Themistocl. p. 90.

18. αὐτὸν Par. A. Laur. Barb. Mon. CD.

19. τῆς συμφορῶν (sic) Vind. Pro τῶν συμφορῶν legitur συμφορὰς in Par. C et Pirckh.

Ἀλλ' ὑμῶν γε, ἦ δ' ὅς, ἵλεων ὄντων καὶ ἀρωγῶν [20]) οὔτε ὀῤῥωδήσω μένοντα τὸν ἀδελφὸν, καὶ ἐξάντης ἔσομαι τοῦ δαιμονίου μηνίματος· ῥᾳδιον γὰρ ὑμῖν, ἢν ἐθέλητε, καὶ τὸ παροφθὲν ἐξακεῖσθαι [21]).

9.

Ὑπολαβὼν δὲ ὁ πατὴρ, κακῶς, ἔφη, τοῦτο γινώσκεις, ὦ παῖ· ἡ γὰρ θεία μερὶς [1]) ἐν τῷ κόσμῳ πρὸς ἄλλοις [2]) ἐςὶ, τὰ μὲν πολλὰ κατὰ τὴν πρώτην ἐν αὐτῇ δύναμιν ἐνεργοῦσα, καὶ ἐμφορουμένη τοῦ νοητῦ κάλλους. Ἐκεῖ γὰρ ἄλλο γένος θεῶν ὑπερκόσμιον, ὃ συνέχει μὲν πάντα μέχρις ἐσχάτων τὰ ὄντα· αὐτὸ δὲ ἀκλινές ἐςι, καὶ πρὸς ὕλην ἀμείλικτον· ἐκεῖνο τοῖς μὲν φύσει θεοῖς [3]) C τὸ μακάριον θέαμα· τὸ δὲ καὶ τὴν ἐκείνου πηγὴν ἰδεῖν ἔτι [4]) μακαριώτερον. Κᾳτα ἐκεῖνο [5]) μὲν τῷ παρ' ἑαυτῷ μένειν ὑπερπλῆρές ἐςιν ἀγαθῶν, ὑπερπλῆρες ὂν ἑαυτοῦ· τοῖς δὲ ἀγαθὸν [6]) τὸ πρὸς τὸν ἐκεῖ θεὸν ἐπεςράφθαι. [7]) Οὐ μὴν ἁπλῆ τίς ἐςιν ἀγαθῶν, οὐδὲ μονοειδὴς ἡ [8]) ἐνέργεια, ἀλλὰ καὶ μερίδων ἐπιμελοῦνται τοῦ κόσμου, τὴν ἐν τῇ θεωρίᾳ πρᾶξιν, ὅσον [9]) χωρεῖ, καταβιβάζοντες εἰς τὸ ἐπιτροπευόμενον. Τὸ μὲν οὖν εἰλικρινὲς [10]) D αὐτῶν εὐθὺς ὑπ' ἐκείνην μὲν τὴν πρώτην [11]) οὐσίαν,

20. ἀῤῥωγῶν Par C. et Pirckh. Dein μηνύματος Pirckh. (ι supra υ)

21. ἐξασκεῖσθαι id.

Cap. IX. 1. ἡ λογικὴ ἡμῶν ψυχὴ (a r. m. in marg.) Rehd.

2. γρ. πρὸς ἀλλήλοις Par. B et Barb. in marg. Dein ἐςὶν Barb.

3. μὲν abest a Mon. C. Verba τοῖς μὲν φύσει in ordine quidem habent Par. B et Barb., in marg. autem dant γρ. ἐν φύσει, quod coniecit *Bevingius*. Adlevit r. m. gl. τοῖς νοῖς ad marg. Rehd.

4. ἐςι Cod. Vind.

5. κεῖνο (sic) id. γρ. κἀκεῖνο Par. B. in mg. τὸ ἓν a r. m. in ora Rehd. Mox παρ' ἑαυτὸ Mon. BCD.

6. ἀγαπητὸν scribendum videtur *Bevingio*. Tum ἐκεῖ (νον a s. m. superscr.) Rehd.

7. ἀπεςράφθαι Pirckh.

8. Deest articulus in Par. A.

9. ὅση Vind.

10. εἰλικρινὲς rectius Monacc. BC. Verba εὐθὺς — — τοὺς ἄγχιςα αὐτῶν Mon. A. in marg. a s. m.

11. Hanc lectionem praebuerunt Codd. omnes, excepto Rehd., qui in contextu habet προτέραν, ut

τετάχαται· τάττουσι δὲ αὐτοὶ τοὺς ἄγχιςα αὐτῶν [12]), καὶ κάτεισιν ἐφεξῆς ἡ διαδοχὴ [13]) τῶν τάξεων μέχρις ἐσχάτων τῶν ὄντων, καὶ ἀπολαύει πάντα διὰ τῶν μέσων τῆς ἐπιμελείας τῶν πρώτων [14])· οὐ μὴν ἐπ' ἴσης ἐςίν· οὐ γὰρ ἂν ἦν τὸ ἑξῆς· ἀλλ' ἀσθενεῖ κατιόντα τὰ ὄντα, μέχρι πλημμελήσει καὶ παραχαράξει τὴν τάξιν, ἐν A 98 ᾧ καὶ τὸ εἶναι τῶν ὄντων παύεται. Γίνεται δέ τι περὶ [15]) τὰ τῇδε τοιόνδε. Τὸ φύσει πλάνον τῆς ἐν γενέσει φύσεως, τῆς τε σωματικῆς μοίρας τὸ ἔσχατον εἴληχε [16]) καὶ ἐπικηρότατον· οὐρανὸς δὲ τὸ πρῶτόν τε καὶ ἀκηρότατον [17]), καὶ ψυχῆς τὸ ἀνάλογον εἶδος ἐνείματο. Ὅπερ οὖν οἶδε [18]) ἐκεῖ, δεικνὺς ἔφη τοὺς θεοὺς, τοῦτο ὁ δαίμων ἐν τοῖς [19]) πολυκλονήτοις ςοιχείοις, φύσις ἔμπληκτος καὶ θρασεῖα, καὶ τῷ πλήθει τῆς ἐκεῖθεν ἀποςάσεως οὐκ ἐπαΐουσα τῆς εὐθημοσύνης [20]) τῶν θείων. Οὐκ οὔσης οὖν τῆς ὑποςάθμης [21]) τῶν ὄντων πρὸς οἰκείαν σωτηρίαν ἀρκούσης· αὐτή τε γὰρ ὑποῤῥεῖ, καὶ B οὐ περιμένει τὸ εἶναι· μιμεῖται δὲ αὐτὸ [22]) τῷ γίνεσθαι·

Edd. Tum et Petav. 1. 2., in marg. tamen offert *πρώτην*.

12. Ita cum editis Codd. omnes praeter Mon. BCD, a quibus abest *αὐτῶν*, cuius loco, quum praecedat *αὐτοί*, suspicari possis *αὑτῶν*. Sed mutatione opus non est. Vid. *C. F. Hermann.* Spec. Comment. crit. ad Plutarch. de Superstit. p. 38. seqq. *Bernhardy* in libro vern.: Wissenschaftl. Syntax d., Griech. Sprache p. 287. *Kuhner.* ampl. Gramm. Gr. §. 630. Annot. 1.

13. *ἡ διαδοχὴ*, superscr. *γρ. ἡ διαγωγὴ*, Mon. B. *ἡ διαγωγὴ* Par. AC. Mon. A. Pirckh. Vind.

14. *πρότων* Petav. 2. Dein post *οὐ μὴν* adiectum *ἀλλ'* in Pirckh. Pro *ἐπίσης* recte *ἐπ' ἴσης*, id. Mox *τοιξῆς*, gravi supra *το* eraso, Vind.

15. *παρὰ* Par. C.

16. *εἴληχεν* Par. A.

17. Ita pro *ἀκήρατον* Mon. AD et Vind. Mox *ἐνείματο*, superscr. *ἐνείμαντο*, Par. A. *ἐνείμαντο* Par. BC. Barb. Mon. BC.

18. *οἶδε* Par. A. *οἶδεν* Par. B. *οἷς*, in marg. *οἶδε* ab ead. m. Rehd.

19. Articulus superscriptus in Rehd.

20. *εὐθυμοσύνης* Rehd. et Vind.

21. Superscripta est gl. *ὕλης* in priore libro.

22. *αὐτὸ* a corr. m. habet Mon. A. *αὐτῷ* Barb. Dein *τὸ γίνεσθαι* id. *τὸ γίγνεσθαι* Mon. BCD.

καὶ τῶν δαιμόνων, ἅτε συγγενῶν ὄντων τῆς τῆδε φύσεως, ἀφανιστικὴν οὐσίαν λαχόντων, ἐπεστράφθαι [23]) μὲν ἀνάγκη τὸ θεῖον, καὶ ἐνδιδόναι τινὰς ἀρχάς, αἷς ἕπεται τὸ ἐνθάδε καλῶς ἐπὶ χρόνον, ἐφ' ὅσον [24]) ἡ ἔνδοσις ἤρκεσεν. Ὥσπερ δὲ τὰ νευρόσπαστα ὄργανα κινεῖται μὲν καὶ πεπαυμένου τοῦ τὴν ἀρχὴν τῆς κινήσεως ἐνδόντος τῇ μηχανῇ, κινεῖται δὲ οὐκ ἐπ' ἄπειρον· οὐ γὰρ οἴκοθεν ἔχει τὴν πηγὴν τῆς κινήσεως [25]), ἀλλ' ἕως C
ἡ δοθεῖσα δύναμις ἰσχύει, καὶ οὐκ ἐκλύεται τῇ προόδῳ, τῆς οἰκείας ἀφισαμένη γενέσεως· τὸν αὐτὸν οἷον [26]) τρόπον, ὦ φίλε Ὄσιρι, τὸ μὲν καλῶς [27]) καὶ τὸ θεῖον ἅμα τε εἶναι καὶ οὐκ εἶναι τοῦδε τοῦ τόπου, καταπέμπεσθαι δὲ ἑτέρωθεν [28])· καὶ διὰ τοῦτο ψυχαί τε ἀγαθαὶ μόλις μὲν [29]), ἀλλὰ φανεῖεν ἂν ἐνταῦθα, καὶ ἐφορεῖαι θεῶν, ὅταν τοῦτο δρῶσιν, οἰκεῖα [30]) μὲν δρῶσιν, οὐ μὴν τῇ πρώτῃ ζωῇ· ἕτερον γὰρ αὐτοῖς [31]) τὸ μακά- D
ριον, ὅτι τὸ ἀπολαύειν αὐτὸ [32]) κόσμου παρὰ τοῦ πρώτου, τοῦ κοσμεῖν τὰ χείρω μακαριώτερον· τὸ μὲν γὰρ ἐστιν [33]) ἀπεστράφθαι, τὸ δὲ ἐπεστράφθαι. Καί

23. ἀπεστράφθαι Par. A. Mox pro τινὰς Pirckh. τινός, quare Rudingerus opinabatur excidisse voc. κινήσεως.

24. ἐφ' ὅσον a s. m. Par. B. inter vers. habet.

25. ὅτι οὐκ αὐτοκίνητον Rehd. in marg. a r. m.

26. οἷον Pirckh.

27. Aut addendum ὂν (de loquutione καλῶς εἶναι vid. *Bornemann.* ad Xenophont. Anab. IV. 3, 8. p. 251. sq.), aut scribendum καλόν.

28. ἑτέρωσε Par. AC. quattuor Monacc. Pirckh. Vind.

29. Ita Pariss. Laur. Monacc. Barb. Vind., neque aliter videtur habuisse Pirckh., quum Rudingerus, explicandi causa haec verba citans, scripserit μόλις μέν; nam ab Edd. Turn. et Petav. 1. 2. μὲν abest.

30. οἰκεία Barb.

31. αὐτῆς Mon. BCD.; αὐτῶν, superscr. οἷς, Mon. A. αὐτῶν. Vind.

32. αὐτῷ Barb. αὐτῷ Par. B. Dein περὶ τοῦ πρώτου Mon. BCD. παρὰ τῶν πρώτων Par. BD c. Barb. γρ. παρὰ τοῦ πρώτου Par. B. in marg. παρὰ τὸν πρῶτον, in marg. παρὰ τοῦ πρώτου Rehd. Quae deinceps in editis adduntur verba τὸν πρῶτον auctoribus libris Mss. omnibus expunxi.

33. Scribebatur ἐστιν. Verba τὸ δὲ ἐπεστράφθαι om. Pirckh.

που τελετὴν ἐπώπτευσας, ἐν ᾗ δύ' ἴσον [34]) συνωρίδες ὀμμάτων, καὶ δεῖται τὰ κάτω μύειν, ὅταν δεδόρκῃ τὰ ὑπερκείμενα· τούτοιν δὲ μυσάντοιν ἀντιπεριίσταται [35]) τὸ ἀνοίγνυσθαι. Οἵου τοίνυν αὐτὸ [36]) θεωρίας εἶναι καὶ πράξεως αἴνιγμα, τῶν μέσων παρὰ μέρος [37]) ἑκάτερον ἐνεργούντων, ἀλλ' ἐν τοῖς τῶν τελειοτέρων [38]) πλέονι 99 A
χρωμένων τῷ λῴονι· τῷ χείρονι δέ, ὅσα ἀναγκαῖα, μόνον προσομιλούντων. Ἔστιν οὖν καὶ ταῦτα ἔργα [39]) θεῶν, ἀναγκαῖα μὲν τῷ κόσμῳ δρώντων, οὐ μὴν προηγούμενα ἀγαθά, ὅτι καὶ ἄνθρωποι νῦν [40]) μὲν οἰκουροῦσι μείω καὶ μείζω, νῦν δὲ φιλοσοφοῦσιν, ἀλλ' ἐν τούτῳ θεσπεσιώτεροι [41]).

10.

Ἀπὸ τούτων οὖν σύνες ὅ τοι [1]) λέγω. Μὴ ἀπαίτει τοὺς θεοὺς σαυτῷ προσεδρεύειν, ἔργον ἔχοντας προηγούμενον θεωρίαν τε καὶ τὰ πρῶτα μέρη τοῦ κόσμου, B
ἐν οὐρανῷ τε οὖσι καὶ πλεῖστον [2]) ἀφεστῶσι μήτε ἀπραγμάτευτον ἡγοῦ, μήτε ἀΐδιαν τὴν κάθοδον γίνεσθαι. Τακτοὶ γὰρ δὴ [3]) χρόνοι κατακομίζουσιν αὐτοὺς κατὰ

34. Ita recte Par. AC. et Monacc. omnes. δύ' ἴσων Par. D. δύ'' ἴσον vulg.

35. Recepimus hanc lectionem pro vulg. τούτων — μυσάντων περιίσταται ex Par. ACD. Monacc. Pirckh. Vind.; dein ἀνοίγνυσθαι pro ἀνοίγεσθαι ex Pariss. Monacc. Pirckh. Rehd. Vind.

36. αὐτῷ Barb.

37. περὶ (superscr. παρὰ) μέρος Mon. D. περὶ μέρος Mon. BC.

38. Articulum pr. m. superscripsit in Rehd. τελεωτέρων (superscr. ει) Mon. B. τελειωτ. Mon. C. τελεωτ. Mon. AD et Vind.

39. ταῦτα τὰ ἔργα Par. AC. Monacc. Pirckh. Vind. Dein ἀναγκαῖα, ἀναγκαῖα μὲν Par. A.

40. νῦν a pr. m., ut videtur, superscriptum habet Rehd.

41. θεσπιώτεροι Mon. BCD.

Cap. X. 1. Ita Codd. Pariss. omnes c. Mon. ABC et Rehd. ὅ τι rell. c. editis libris. Sumpta haec ex *Pindar.* Fragm. ex Epinicc. V. 1. Vol. III. p. 13. seqq. ed. Heyn. — Herm.; ed. Boeckh. ex Fragm. VII. Ὑπορχ. 1. Tom. II. P. 2. p. 597. *Cf. Plat.* Menon. p. 76. D. et Phaedr. p. 236. D.

2. πλείστου (sic) Barb.

3. Receptum δὴ ex Mon. A et Vind.

τὸ [4]) παράδειγμα τῶν μηχανοποιῶν, ἐνδώσοντας ἀρ-
χὴν ἀγαθῆς ἐν πολιτείᾳ κινήσεως· τοῦτο δὲ ἐστιν [5]), ὅταν
βασιλείαν ἁρμόσωσι, ψυχὰς [6]) συγγενεῖς δεῦρο κατα-
κομίσαντες. Θεία γὰρ αὕτη καὶ μεγαλομερὴς ἡ πρό-
νοια, δι' ἑνὸς ἀνδρὸς ἐπιμεληθῆναι πολλακιςμυρίων [7])
ἀνθρώπων. Αὐτοὺς οὖν τὸ ἐντεῦθεν [8]) δεῖ πρὸς τοῖς
αὐτῶν [9]) εἶναι· σὲ δὲ ἀπειλημμένον ἐν ἀλλοτρίοις με- C
μνῆσθαι μὲν ὅθεν εἶ, καὶ ὅτι λειτουργίαν τινὰ ταύτην
τῷ κόσμῳ πληροῖς· πειρᾶσθαι δὲ σαυτὸν ἀνάγειν, ἀλλὰ
μὴ τοὺς θεοὺς κατάγειν· ἔχειν [10]) τε προμήθειαν ἑαυτοῦ
τὴν πᾶσαν, ὥςπερ ἐν στρατοπέδῳ ζῶντα ἐπ' ἀλλοτρίας [11])
ψυχὴν θείαν ἐν δαίμοσιν, οὓς εὔλογον γηγενεῖς ὄντας
ἐπιτίθεσθαι καὶ ἀγανακτεῖν, ἢν τις ἐν τοῖς αὐτῶν ὅροις
νόμους ἀλλοφύλους τηρῇ [12]). Ἀγαπητὸν οὖν ἀγρυ-
πνῆσαι [13]) καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, μίαν ταύτην
ἐπιμέλειαν ἔχοντα, μὴ ἁλῶναι κατὰ κράτος [14]) ἕνα ὑπὸ D
πολλῶν, ξένον [15]) ὑπὸ αὐτοχθόνων. Ἔστι [16]) μὲν γὰρ
τῇδε καὶ ἡρώων φῦλον ἱερὸν, ἐπιμελὲς ἀνθρώπων, καὶ
τὰ σμικρὰ ὠφελεῖν δυνάμενον, καὶ τὸ πρεσβύτερον
ἀγαθὸν [17]), ἥρωος οἷον μετοικία τις αὕτη, τοῦ μὴ ἄμοιρα

4. Articulum om. iidem libri.

5. τ. δὲ ἐστιν et Codd. et Edd. Mox ἁρμόσωσιν Barb.

6. καὶ ψυχὰς Par. A. Dein κατακομήσαντες Par. B. c. Barb.

7. πολλάκις μυρίων libri scripti et editi.

8. τοεντεῦθεν Mon. A. τὸ ἐντεν (sic) Pirckh.

9. Equidem in pr. Ed. scripsi αὑτῶν. Sed vid. supra ad Cap. IX. Annot. 12.

10. ἔχειν enatum est ex ἔχει in Rehd. τε pro δὲ praebuerunt Codd. omnes, excepto uno Rehd. Tum ἑαυτῷ scribunt Mon. BC. σε ἑαυτῷ Mon D. σεαυτοῦ Mon. A et Vind.

11. ἐπὶ Vind. ἐπ' ἀλλοτρίαν Par. B c. Barb. Pro ἐν δαίμοσιν Pirckh. εὐδαίμοσιν.

12. τηρεῖν Pirckh.

13. ἀγρυπνοῦντα Pariss. Mon BC. Barb. Pirckh. Quod sequitur καὶ om. Monacc. omnes c. Vind.

14. Ita Pirckh. et Rehd. Rell. c. editis κατακράτος.

15. ξένων Petav. 1.

16. ἔστη Barb. Dein φύλων id. Vid. *Hesiod.* Opp. et D. v. 121. sq. et *Plat.* Civitat. p. 486. E.

17. γρ. καὶ τι πρεσβ. Par. B

τῆς λῴονος φύσεως τὰ τῇδε ὑπολείπεσθαι. Καὶ χεῖρα ὀρέγουσιν ἐν οἷς δύναμις. Ἀλλ᾽ ὅταν εἰς πόλεμον ψυχῆς ὕλη κινήσῃ τὰ οἰκεῖα βλαστήματα, σμικρὸν γίνεται θεῶν ἀπόντων τὸ ἐντεῦθεν ἀντίπαλον. Ἰσχυρὸν γὰρ ἕκαστον ἐν τοῖς οἰκείοις. Οἱ δὲ πρῶτον μὲν ἐθελήσου- 100 A σιν [18]) ἑαυτῶν ποιῆσαι· ἡ δὲ ἐπιχείρησις [19]) τοιάδε. Οὐκ ἔστιν ἐπὶ γῆς εἶναι μή τινα καὶ μοῖραν ψυχῆς ἄλογον ἔχοντα. Καὶ ταύτην προβέβληται μὲν ὁ πολύς, παρήρτηται δὲ ὁ σοφός· ἔχειν δὲ ἀνάγκη πάντας. Διὰ ταύτης ὡς διὰ συγγενοῦς ἐπὶ τὸ ζῷον ἔρχονται δαίμονες [20]), προδοσίαν ποιοῦντες [21]). Ἀτεχνῶς γὰρ πολιορκίᾳ προσέοικε τὸ γινόμενον. Ὅπερ [22]) δὲ πάσχουσιν ἄνθρακες ὑπὸ δᾳδῶν· θᾶττον γὰρ [23]) ἐξάπτονται διὰ τὴν ἤδη πρὸς τὸ πῦρ ἐπιτηδειότητα· οὕτως ἡ δαίμονος φύσις ἐμπαθὴς οὖσα [24]), μᾶλλον δὲ πάθος οὖσα ζῶν καὶ B κινούμενον, πελάσασα ψυχῇ, τὸ ἐν αὐτῇ πάθος κινεῖ, καὶ προάγει τὴν δύναμιν εἰς ἐνέργειαν· παραθέσει γὰρ ἕκαστον δρᾷ. Συνεξομοιοῦται δὲ ἅπαν τῷ ποιοῦντι τὸ πάσχον. Οὕτως ἐπιθυμίαν, οὕτω θυμοὺς [25]) ἐξάπτουσι δαίμονες, καὶ ὅσα ἀδελφὰ τούτων κακά, ψυχαῖς ὁμιλοῦντες [26]) διὰ τῶν προσηκόντων σφίσι μερῶν, ἅπερ τῆς παρουσίας αὐτῶν αἰσθάνεται φυσικῶς, καὶ κινεῖται, καὶ ὑπ᾽ αὐτῶν [27]) δυναμοῦται τοῦ νοῦ κατεξανιστάμενα, μέχρις ἂν κρατήσωσι τῆς ὅλης ψυχῆς, ἢ ἀπογνῶσι

in marg. Non ante, sed post ἥρωος distinguunt Mon. A et Pirckh.

18. Ita Codd. omnes, excepto Rehd., qui c. vulgatis libris exhibet ἐθέλουσιν. Dein ἑαυτὸν Barb.

19. Addunt ἔτι Mon. AD. et Vind.

20. δαίμονας λέγει τὰς ἡδονὰς Rehd. in marg. a r. m.

21. ποιοῦντες, superscr. πειρῶντες, Par. A. et (in marg. praefixo γρ.) Par. B.

22. Fort. ὥσπερ.

23. γὰρ om. Codd. omnes.

24. φύσις οὖσα ἐμπ. Vind.

25. Ita Codd. omnes praeter Pirckh., ex quo nihil varietatis enotatum legitur. θυμὸν vulg.

26. ὁμιλοῦντι (superscr. τες) Mon. D. ὁμιλοῦντι.

27. ὑπὸ αὐτῶν Rehd. ὑπ᾽ αὐτῶν (superscr. οῦ) Barb. ὑπ᾽ αὐτοῦ Mon. BCD. Dein κατεξανιστάμεναι Pirckh.

τὴν αἵρεσιν. Οὗτος ἀγώνων ὁ μέγιςος· οὔτε γὰρ καιρὸς, οὔτε τρόπος, οὔτε τόπος ἐςὶν, ὃν ἀνιᾶσι [28]) προς- C βάλλοντες, καὶ ὅθεν οὐκ ἄν τις οἴοιτο, κἀκεῖθεν ἐπιχειροῦσι· πανταχοῦ πάγαι [29]), πανταχοῦ μηχαναὶ, πάντα κινεῖ τὸν οἴκοθεν πόλεμον, ἕως ἂν ἐξέλωσιν, ἢ ἀπαγορεύσωσι. Θεαταὶ δὲ [30]) ἄνωθεν οἱ θεοὶ τῶν καλῶν τούτων ἀγώνων, ὧν ἴση στεφανηφόρος· ὡς εἴθε καὶ τῶν δευτέρων. Ἀλλὰ δέος μὴ τούτους μὲν ἕλῃς, ἐν ἐκείνοις δὲ αἱρεθῇς· ὅταν γὰρ ἡ θεία μοῖρα τῆς ψυχῆς μήτε ἀκολουθήσῃ τῇ χείρονι [31]), καὶ ἀνακόψῃ πολλάκις αὐτὴν καὶ πρὸς ἑαυτὴν ἐπιςρέψῃ [32]), φύσις ἐν τῷ χρόνῳ ςομοῦσθαι κἀκείνην, ὥςε ἀντέχειν ταῖς ἐμβο- D λαῖς, καὶ οἷον γανωθεῖσαν οὐκέτι δέχεσθαι τὰς ἐκ τῶν δαιμόνων ἐπιῤῥοάς. Θεῖον οὖν οὕτως καὶ ἓν ὅλον τὸ ζῶον ὄντως τότε γίνεται. Καὶ τοῦτο ἔςιν [33]) ἐπὶ γῆς φυτὸν οὐράνιον, ἐγκεντρισμὸν ἀλλότριον οὐ δεξάμενον, ὥςτε ἐξ ἐκείνου φῦσαι καρποὺς, ἀλλ' εἰς τὴν ἑαυτοῦ φύσιν κἀκεῖνο μεταποιῆσαν [34]). Οἱ δὲ ἀπεγνωκότες αὐ-

28. ἀνιᾶσι (sic) Par. A. Tum σ προβάλλοντες (σ̄ a s. m. superscr.) Mon. A. προβ. Barb. Mox ἐκεῖθεν pro κἀκεῖθεν Par. D.

29. παγαὶ Turn. et Petav. 1., Infra ἐξάλωσιν Barb.

30. δ' Mon. A et Vind.

31. τῷ χείρονι Monacc. Par. C. Pirckh. Vind.

32. ἀποςρέψῃ coni. Rudingerus. Proxime ςομοῦται κἀκεῖνος ἴσως γραπτέον Turn. in Corrigg. Nec multo post ςεγανωθεῖσαν pro γανωθεῖσαν legendum monuit Petavius in Annot. ad Ed. 1., in 2. autem Ed. γρ. ςεγανωθεῖσαν margini adscripsit. Dein pro οὐκ ἔτι receptum οὐκέτι ex libris Mon. BCD et Rehd. οὐκ ἐπιδέχεσθαι scribit Mon. A.

33. τοῦτό ἐςιν Codd. et Edd. — ἐπὶ γῆς φυτὸν οὐράνιον] Respexit nimir. Plat. Tim. p. 90. A. Cf. Plutarch. de exilio T. II. p. 600. F. ed. Francof.; T. III. p. 289. ed. Wyttenb.

34. Ita Par. C. Monacc. Pirckh. Vind. et Petav. 1. 2., itemque Par. B. in marg. praefixo γρ. — κἀκεῖνο μεταποιῆσαι Barb. μεταποιῆσαι a m. pr., a r. μεταποιῆσαν Mon. A. κἀκεῖνοι μεταποιήθησαν Par. ABD. Rehd. et in marg. Barb.; item Turn. et Petav. in marg. sec. Edit. κἀκεῖνον (i. e. ἐγκεντρισμὸν) coni. Rudingerus, quem in Ed. Solisbacensi sequi non debebam, quum hac mutatione opus non sit. Vid. Matth.

τοῦ, τότε δὴ παντελῶς ἤδη [35]) τὸν δεύτερον ἀγωνίζονται ἀγῶνα, ἐκκόψαι τε αὐτὸ καὶ τῆς γῆς ἐκτρῖψαι [36]), ὡς ἂν μηδέν σφισι προσῆκον· καὶ γὰρ αἰσχύνονται τὴν A 101
ἧτταν, εἴ τις ἀλλόφυλος ὢν, ἐν τοῖς αὐτῶν τόποις κρατῶν [37]) περιέρχεται, τρόπαιον νίκης ὢν [38]) καὶ φαινόμενος· ὁ γὰρ τοιοῦτος οὐκ ἐν ἑαυτῷ [39]) μόνῳ ποιεῖ τὴν ζημίαν αὐτοῖς, ἀλλὰ καὶ ἑτέρους τῆς ἐπικρατείας αὐτῶν συναφίστησιν. Ἀρετῆς γὰρ ζηλουμένης ἔῤῥειν ἀνάγκῃ τὰ χείρω [40]). Διὰ ταῦτα μὲν ἐπιβουλεύουσιν ἀνελεῖν καὶ ἰδιώτην καὶ ἄρχοντα, πάντα ὁντινοῦν τὸν ἀφηνιάσαντα πρὸς τοὺς νόμους τῆς ὕλης· ἀλλ' ἐνταῦθα σὺ βασιλεὺς ὢν ῥᾷον [41]) ἅπαντος ἰδιώτου φυλάττοιο· ἔξωθεν [42]) γὰρ ἐπιχειροῦσι, μὴ προχωρησάντων τῶν B
ἔνδοθεν, πολέμῳ καὶ στάσει καὶ ὅσα λωβᾶται σώματι, [43]) ὑφ' ὧν ἥκιστα ἂν αἱροῖτο βασιλεύς, προμηθὴς ὢν ἑαυτοῦ· ὡς ἔστιν ἄμαχον, ὅταν ἰσχὺς καὶ σοφία συγγένωνται [44])· διαληφθεῖσαι δὲ ἀπ' ἀλλήλων, ῥώμη τε ἀμαθὴς, καὶ φρόνησις ἀσθενὴς, εὐκαταγώνιστοι γίνονται.

Gramm. Gr. p. 819. sq. ed. 2. *Iacobs.* ad Achill. Tat. p. 543., idemque ad Aelian. p. 467 et 373. *Iacob.* ad Lucian. Tox. p. 136. coll. Nostro infr. II. 8. p. 128. C. Dion. Cap. II. p. 36. B. Calv. Enc. Cap. XIV. p. 78. B.

35. ἤδη om. libri Monacc. Par. C et Pirckh.

36. ἐκτρίψαι Codd. et Edd. Turn. atque Petav. 1. 2. Dein μηδέν σφισι pro μηδὲν σφίσι recte exhibent Mon. A et Vind.

37. ζητῶν, in marg. κρατῶν Barb.

38. γρ. ζῶν Par. B in marg.

39. ἐν αὐτῷ Mon. BC. Tum μόνον Barb.

40. Imitatur *Plat.* Civit. VIII. p. 551. A.

41. Fort. ῥᾷον ἄν. Mox φυλάττοιο pro φυλάττοις (φυλάττης Barb.) receptum e Pariss. Monacc. Pirckh. Rehd. Vind.

42. ἔξωθε Rehd. Vid. *Lobeck.* ad Phrynich. p. 284. sq.

43. σώματα Pirckh., probavitque *Rudingerus.* Mox ἥκιστα ἀναιροῖτο Par. A. βασιλεὺς ἀναιρ. Par. D.

44. συγγίνονται Barb. et Mon. D. Cf. Or. de Regn. Cap. VII. p. 7. B. ibique Annot. Verba διαληφθεῖσαι — — — εὐκαταγώνιστοι γίνονται om. Pirckh. διαλειφθεῖσαι scribunt Mon. BCD.

11.

Ἠγάσω πάντως [1]), ὦ παῖ, τὴν ἐν ταῖς ἱεραῖς εἰκόσι τῶν πατέρων ἐπίνοιαν. Τὸν Ἑρμῆν [2]), Αἰγύπτιοι διπλῆν ποιοῦμεν [3]) τὴν ἰδέαν τοῦ δαίμονος, νέον ἱσάντες παρὰ πρεσβύτῃ [4]), ἀξιοῦντες, εἴπερ τις ἡμῶν μέλλει C καλῶς ἐφορεύσειν, ἔννουν τε εἶναι καὶ ἄλκιμον, ὡς ἀτελὲς εἰς ὠφέλειαν θάτερον παρὰ θάτερον. Ταῦτ' ἄρα καὶ [5]) ἡ Σφὶγξ ἡμῖν ἐπὶ τῶν προτεμενισμάτων ἵδρυται, τοῦ συνδυασμοῦ τῶν ἀγαθῶν ἱερὸν σύμβολον,

Cap. XI. 1. πάντας Barb. In Rehd. ω̄ vocabuli πάντως secundae debetur manui.

2. Distinxi puncto ante τὸν Ἑρμῆν praeeuntibus Codd. Par. ACD. Monacc. Pirckh. Rehd. Vind., ubi interrogandi signum habent Par. B et Barb.; comma autem posuerunt Turnebus et Petavius puncto post Ἑρμῆν addito. Codd. Mon. A et Vind. in marg. exhibent hoc scholium: Τινὲς (h. voc. serius praefixum est in Mon. libro; in Vind. autem loco raso habetur) τὸ Ἑρμῆν πρὸς τὸν νέον ἱσάντες συνάπτουσι λέγοντες (novissisimas duas syllabas utriusque verbi Cod. Mon. ab al. m. per ras. habet) οὕτω· τὸν Ἑρμῆν Αἰγύπτιοι νέον ἱσάντες παρὰ πρεσβύτῃ διπλῆν ποιοῦμεν τὴν ἰδέαν τοῦ δαίμονος, ἤτοι αὐτόν, ὡς ἔχει τὸ τοῦ Πολυδεύκους· Ὁ Πρωτεὺς ὁ Φάριος, τὸ θαῦμα τὸ Ὁμηρικόν, πολλαὶ μὲν αὐτοῦ (αὐτῷ, primo αὐτῶν Vind.) καὶ πολυειδεῖς αἱ μορφαί· ἤγουν αὐτός. (Quae deinceps sequuntur Mon. liber ab al. m. habet) Τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Αὕτη ἡ αἰτιατικὴ ἀναπόδοτός ἐστι διὰ τὸ τεθῆναι εὐθὺς τὴν ἐπανάληψιν (μετανάληψιν Vind.)· τὸ γὰρ τοῦ δαίμονος ἐπανάληψίς ἐστιν· εἰώθαμεν δὲ ἐν ταῖς ἐπαναλήψεσιν ἢ πρὸς τὴν πρότασιν ἐπάγειν τὴν σύνταξιν, ἢ ὡς ἂν βουλώμεθα· δέον γὰρ οὕτως εἰπεῖν, τὸν Ἑρμῆν Αἰγύπτιοι διπλοῦν τὴν ἰδίαν ποιοῦσιν, ὁ δὲ ἐπαναλήψει χρησάμενος τῷ δαίμονος πρὸς ταύτην τὸν λόγον ἐσχημάτισεν. Οὕτως ἔχει καὶ τὸ τοῦ Πολυδεύκους· καὶ γὰρ κἀκεῖ τὸ αὐτοῦ ἐπανάληψίς ἐστιν. (Desunt sequentia in Vind.) Τοιοῦτον καὶ τὸ παρὰ Λιβανίῳ ἐν τῇ τῆς Νικομηδείας μονῳδίᾳ (Tom. III. p. 337.) Reisk.)· Ἐγὼ δὲ τῆς Νικομήδους πόλεως, ἐν ᾗ λόγους μέν, οὓς εἶχον, ἐπηύξησα, φήμην δέ, ἣν οὐκ εἶχον, ἐπεκτησάμην, ταύτην δέ, τὴν ἔναγχος μὲν πόλιν, νῦν (νυνὶ Reisk.) δὲ κόνιν, σιγῇ δακρύσω. Καὶ γὰρ τὸ δακρύσω πρὸς τὴν ἐπανάληψιν τὸ ταύτην ἀπεδόθη, ἀναποδότου μεινάσης τῆς γενικῆς.

3. Ita Codd. Pariss. Monacc. Pirckh. Rehd. Vind. ποιοῦσι vulg. Cf. Or. de Regn. Cap. VII. p. 7. B. ποιοῦνται Mon. C in marg.

4. παρὰ πρεσβύτην Pirckh. Proxime μέλλοι Mon. BCD.

5. Abest καὶ ab Edd. Petavv. Dein προτενισμάτων Par. A. προτενεισμάτων Pirckh. Mox τῶν ἀρε-

